UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

Evsebii Pamphili Ecclesiasticae Historiae Liber Octavus.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

VI. De iis qui in palatio versabantur.
VII. De Ægyptiis qui in Phœnice passi sunt.
VIII. De his qui in Ægypto passi sunt.
IX. De iis qui in Thebaïde passi sunt.
X. De his quæ Alexandriæ gesta sunt, testimonium Phileæ martyris.
XI. De his quæ gesta sunt in Phrygia.
XII. De pluribus viris & mulieribus qui diverso martyrii genere occubuerunt.
XIII. De Præsidibus ecclesiarum qui fuso sanguine, religionis ejus quam profitebantur sinceritatem declararunt.
XIV. De ingenio ac moribus persecutorum.
XV. De his quæ Gentilibus acciderunt.
XVI. De rebus in meliorem statum conversis.
XVII. De Imperatorum palinodia.

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ,

## Ἐκκλησιαστικῆς ἱστορίας

## Λόγος η΄.

Τὴν τῶν Ἀποστόλων διαδοχὴν ἐν ὅλοις ἑπτὰ περιγράψαντες βιβλίοις, ἐν ὀγδόῳ τούτῳ συγγράμματι, τὰ καθ' ἡμᾶς αὐτοὺς οὐ τῆς τυχούσης ἄξια ὄντα γραφῆς, ἕν τι τῶν ἀναγκαιοτάτων ἡγούμεθα δεῖν εἰς γνῶσιν καὶ τῶν μεθ' ἡμᾶς παραδοῦναι· καὶ ἄρξεται γε ὁ λόγος ἡμῖν ἐντεῦθεν. A

### ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν πρὸ τοῦ καθ' ἡμᾶς διωγμοῦ.

Ὅσης μὲν καὶ ὁποίας πρὸ τοῦ καθ' ἡμᾶς διωγμοῦ δόξης ὁμοῦ καὶ παρρησίας, ὁ B διὰ Χριστοῦ τῷ βίῳ κατηγγελμένος τῆς εἰς τὸν τῶν ὅλων Θεὸν εὐσεβείας λόγος, παρὰ πᾶσιν ἀνθρώποις Ἕλλησί τε καὶ Βαρβάροις ἠξιοῦτο. μεῖζον ἢ καθ' ἡμᾶς ἐπαξίως διηγήσασθαι. τεκμήρια δ' ἂν γένοιτο, τῶν κρατούντων αἱ περὶ τοὺς ἡμετέρους δεξιώσεις. οἷς καὶ τὰς τῶν ἐθνῶν ἐνεχείριζον ἡγεμονίας, τῆς περὶ τὸ θύειν ἀγωνίας κατὰ πολλὴν ἣν ἀπέσωζον περὶ τὸ δόγμα φιλίαν, αὐτοὺς ἀπαλλάττοντες. τί δεῖ περὶ τῶν κατὰ τοὺς βασιλικοὺς λέγειν οἴκους, καὶ τῶν ἐπὶ πᾶσιν ἀρχόντων; οἳ τοῖς οἰκείοις εἰς πρόσωπον ἐπὶ τῷ θείῳ παρρησιαζομένοις λόγῳ τε καὶ βίῳ, συνεχώρουν γαμεταῖς καὶ παισὶ καὶ οἰκέταις, μονον-

# EUSEBII PAMPHILI

## ECCLESIASTICÆ HISTORIÆ

## LIBER OCTAVUS

Cum Apostolorum successiones septem jam libris comprehenderim, hoc octavo Volumine res etiam nostra ætate gestas, quæ haud perfunctoriam narrationem desiderant, posterorum notitiæ tradendas esse existimavi. Hinc porrò sermonis nostri ducetur exordium.

### Caput I.

*De his quæ persecutionem nostri temporis præcesserunt.*

Qualem quantamque gloriam simul ac libertatem doctrina veræ erga supremum Deum pietatis à Christo primùm hominibus annuntiata, apud omnes Græcos pariter & Barbaros ante persecutionem nostra memoria excitatam consecuta sit, nos certè pro merito explicare non possumus. Argumento esse possit Imperatorum benignitas erga nostros: quibus regendas etiam provincias committebant, omni sacrificandi metu eos liberantes ob singularem qua in religionem nostram affecti erant benevolentiam. Quid opus est dicere de iis qui in Imperatorum palatiis versabantur, quid de Imperatoribus ipsis? Qui domesticis suis eorumque uxoribus, liberis ac servis, ea quæ religionis suæ erant, tam verbis quàm factis liberè exsequendi coram

Huc refer Niceph. l. 7. c. 2.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

semetipsis, potestatem dederunt; ipsis A ob hanc fidei suæ libertatem gloriari ac se ostentare quodammodo permittentes: eosque præ cæteris omnibus ministris præcipuo quodam amore complectebantur. Cujusmodi fuit Dorotheus ille, qui summam erga ipsos benevolentiam ac fidem declaravit, eamque ob causam præ cunctis Magistratibus & provinciarum Rectoribus magnum honorem promeruit. Huic adjungendus est celeberrimus ille Gorgonius, & quicunque alii ob sermonem Dei eandem cum istis gloriam sunt consecuti. Similiter & singulis ecclesiarum Antistitibus B summum honorem, cultum ac benevolentiam ab omnibus tam privatis quam provinciarum Rectoribus deferri vidisses. Jam verò quis innumerabilem hominum quotidie ad fidem Christi confugientium turbam, quis numerum ecclesiarum in singulis urbibus, quis illustres populorum concursus in ædibus sacris, cumulatè possit describere? Quo factum est ut priscis ædificiis jam non contenti, in singulis urbibus spatiosas ab ipsis fundamentis exstruerent ecclesias. Atque hæc progressu temporis increscentia, & quotidie in majus ac melius C proficientia, nec livor ullus atterere; nec malignitas dæmonis fascinare; nec hominum insidiæ prohibere unquam potuerunt, quandiu omnipotentis Dei dextera populum suum utpote tali dignum præsidio, texit atque custodiit. Sed cùm ex nimia libertate in negligentiam ac desidiam prolapsi essemus; cum alter alteri invidere atq; obtrectare cœpisset; cum inter nos quasi bella intestina gereremus, verbis tanquam armis quibusdam hastisq; nos mutuò vulnerantes; cum Antistites adversus Antistites; populi in populos collisi, jurgia ac tumultus agitarent; denique cum fraus & simulatio ad sum- D mum malitiæ culmen adolevisset: tum divina ultio levi brachio ut solet, integro adhuc ecclesiæ statu & fidelium turbis liberè convenientibus, sensim ac moderatè in nos cœpit animadvertere; orsâ primum persecutione ab iis qui militabant. Cum verò sensu omni destituti, de placando Dei Numine ne cogitaremus quidem; quin potius instar impiorum quorumdam res humanas nulla sollicitudine ac providentia gubernari rati, alia quotidie crimina aliis adjiceremus: cùm Pastores nostri spreta religionis regula, mutuis

A οὐχὶ καὶ ἐγκαυχᾶσθαι ἐπὶ τῇ παρρησίᾳ τῆς πί-
στεως ἐπιτρέποντες· οὓς ἐξόχως καὶ μᾶλλον
τῶν συνθεραπόντων ἀποδεκτοὺς ἡγοῦντο. οἷος
ἐκεῖνος ἦν Δωρόθεος πάντων αὐτοῖς εὐνούστα-
τός τε καὶ πιστότατος, καὶ τούτων ἕνεκα διαφε-
ρόντως παρὰ τοὺς ἐν ἀρχαῖς καὶ ἡγεμονίαις αὐ-
τοῖς τιμιωτάταις ἐντιμότατος. ὅ, τε σὺν αὐ-
τῷ περιβόητος Γοργόνιος. καὶ ὅσοι τῆς αὐτῆς ὁμοίως
τούτοις ἠξίωντο διὰ τὸν τοῦ Θεοῦ λόγον τιμῆς.
οἵας τε καὶ τοὺς καθ' ἑκάστην ἐκκλησίαν ἄρ-
χοντας παρὰ πᾶσιν ἐπιτρόποις καὶ ἡγεμόσιν
B ἀποδοχῆς καὶ θεραπείας καὶ δεξιώσεως οὐ τῆς
τυχούσης ἦν ὁρᾶν ἀξιουμένους. πῶς δ' ἄν τις
διαγράψειε τὰς μυριάνδρους ἐκείνας ἐπι-
συναγωγάς. καὶ τὰ πλήθη τῶν κατὰ πᾶσαν πό-
λιν ἀθροισμάτων. τάς τε ἐπισήμους ἐν τοῖς
προσευκτηρίοις συνδρομάς; ὧν δὴ ἕνεκα μη-
δαμῶς ἔτι τοῖς παλαιοῖς οἰκοδομήμασιν
ἀρκούμενοι, εὐρείας εἰς πλάτος ἀνὰ πάσας
τὰς πόλεις ἐκ θεμελίων ἀνίστων ἐκκλησίας.
ταῦτα δὲ τοῖς χρόνοις προϊόντα, ὁσημέραι
τε εἰς αὔξησιν καὶ μέγεθος ἐπιδιδόντα, οὐδεὶς
C ἀνεῖργε φθόνος. οὐδέ τις δαίμων πονηρὸς
οἷός τε ἦν βασκαίνειν, οὐδ' ἀνθρώπων ἐπι-
βουλαῖς κωλύειν, ἐς ὅσον ἡ θεία καὶ οὐράνιος
χεὶρ ἔσκεπέ τε καὶ ἐφρούρει, οἷα δὴ ἀξιωθέν-
τα τὸν ἑαυτῆς λαόν· ὡς δ' ἐκ τῆς ἐπὶ πλέον
ἐλευθερίας, ἐπὶ χαυνότητα καὶ νωθρίαν τὰ
καθ' ἡμᾶς μετηλλάττετο, ἄλλων ἄλλοις
διαφθονουμένων καὶ διαλοιδορουμένων, καὶ
μονονουχὶ ἡμῶν αὐτῶν ἑαυτοῖς προσπολε-
μούντων ὅπλοις εἰ οὕτω τύχοι καὶ δόρασι
τοῖς διὰ λόγων. ἀρχόντων τε ἄρχουσι προσ-
ρηγνύντων, καὶ λαῶν ἐπὶ λαοὺς καταστασια-
ζόντων. τῆς τε ὑποκρίσεως ἀφάτου καὶ τῆς εἰ-
D ρωνείας ἐπὶ πλεῖστον ὅσον κακίας προϊούσης. ἡ
μὲν δὴ θεία κρίσις οἷα φίλον αὐτῇ πεφεισμέ-
νως, τῶν ἀθροισμάτων ἔτι συγκροτουμένων
ἠρέμα καὶ μετρίως τὴν αὐτῆς Ἐπισκοπὴν ἀ-
νεκίνει. ἐκ τῶν ἐν στρατείαις ἀδελφῶν καταρ-
χομένου τοῦ διωγμοῦ. ὡς δ' ἀνεπαισθήτως ἔ-
χοντες, οὐχ ὅπως εὐμενὲς καὶ ἵλεω καταστή-
σαιτο θεῖον προυθυμούμεθα. οἷα δέ τινες ἄ-
θεοι ἀφρόντιστα καὶ ἀνεπίσκοπα τὰ καθ' ἡμᾶς
ἡγούμενοι, ἄλλας ἐπ' ἄλλαις προσετίθεμεν
κακίας· οἵ τε δοκοῦντες ἡμῶν ποιμένες τὸν τῆς
θεοσεβείας θεσμὸν παρωσάμενοι, ταῖς πρὸς

ἀλλήλους ἀνεφλέγοντο φιλονεικίαις, αὐτὰ δὴ ταῦτα μόνα, τὰς ἔριδας καὶ τὰς ἀπειλὰς, τόν τε ζῆλον καὶ τὸ πρὸς ἀλλήλους ἔχθος τε καὶ μῖσος ἐπαύξοντες, οἷά τε τυραννίδας τὰς φιλαρχίας ἐκθύμως διεκδικοῦντες· τότε δὴ τότε κατὰ τὴν φάσκουσαν τοῦ Ἱερεμίου φωνὴν, ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ Κύριος τὴν θυγατέρα Σιὼν καὶ κατέρριψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα Ἰσραήλ. οὐκ ἐμνήσθη τε ὑποποδίου ποδῶν αὐτοῦ ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ. ἀλλὰ καὶ κατεπόντισε Κύριος πάντα τὰ ὡραῖα Ἰσραὴλ, καὶ καθεῖλε πάντας τοὺς φραγμοὺς αὐτοῦ. κατά τε τὰ ἐν Ψαλμοῖς προθεσπισθέντα, κατέστρεψε τὴν διαθήκην τοῦ δούλου αὐτοῦ, καὶ ἐβεβήλωσεν εἰς γῆν διὰ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως τὸ ἁγίασμα αὐτοῦ. καὶ καθεῖλε πάντας τοὺς φραγμοὺς αὐτοῦ. ἔθετο τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. διήρπασάν τε τὰ πλήθη τοῦ λαοῦ πάντες οἱ διοδεύοντες ὁδόν. καὶ δὴ ἐπὶ τούτοις, ὄνειδος ἐγενήθη τοῖς γείτοσιν αὐτοῦ. ὕψωσε γὰρ τὴν δεξιὰν τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἀπέστρεψε τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ. καὶ οὐκ ἀντελάβετο αὐτοῦ ἐν τῷ πολέμῳ· ἀλλὰ καὶ κατέλυσεν ἀπὸ καθαρισμοῦ αὐτόν. καὶ τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξεν. ἐσμίκρυνέ τε τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ. καὶ ἐπὶ πᾶσι κατέχεεν αὐτοῦ αἰσχύνην.

A inter se contentionibus decertarent, nihil aliud quàm jurgia, minas, æmulationem, odia ac mutuas inimicitias amplificare studentes; Principatum quasi tyrannidem quandam contentissimè sibi vindicantes: tunc demum juxta dictum Hieremiæ, obscuravit Dominus in ira sua filiam Sion, & dejecit de cælo gloriam Israël: nec recordatus est scabelli pedum suorum in die iræ suæ. Submersit Dominus omnem decorem Israël, & macerias ejus omnes destruxit. Et sicut in Psalmis prædictum est: evertit testamentum servi sui: profanavit in terra sanB ctitatem ejus, per ecclesiarum scilicet subversionem. Destruxit omnes macerias ejus: posuit munitiones ejus formidinem. Diripuerunt eum omnes turbæ populi transeuntes per viam: idcirco factus est opprobrium vicinis suis. Exaltavit enim dexteram inimicorum ejus: & avertit adjutorium gladii sui, nec auxiliatus est ei in bello. Finem imposuit purificationi ipsius, & solium ejus humi allisum confregit. Minuit dies vitæ ejus, & operuit eum ignominia.

Thren. 2. Psal. 88. & 78.

C

## ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως.

Συντετέλεσται δῆτα καθ' ἡμᾶς ἅπαντα, ὁπηνίκα τῶν μὲν προσευκτηρίων τοὺς οἴκους ἐξ ὕψους εἰς ἔδαφος αὐτοῖς θεμελίοις καταρριπτουμένους, τὰς δὲ ἐνθέους καὶ ἱερὰς γραφὰς κατὰ μέσας ἀγορὰς πυρὶ παραδιδομένας αὐτοῖς ἐπείδομεν ὀφθαλμοῖς. τούς τε τῶν ἐκκλησιῶν ποιμένας αἰσχρῶς ὧδε κἀκεῖσε κρυπταζομένους. τοὺς δὲ ἀσχημόνως ἁλισκομένους, καὶ πρὸς τῶν ἐχθρῶν καταπαιζομένους. ὅτε καὶ κατ' ἄλλον προφητικὸν, ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν. καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ. ἀλλὰ τούτων μὲν οὐχ ἡμέτερον διαγράφειν τὰς ἐπὶ τέλει σκυθρωπὰς συμφοράς. ἐπεὶ καὶ τὰς πρόσθεν τοῦ διωγμοῦ διαστάσεις τε αὐτῶν εἰς ἀλλήλους καὶ ἀτοπίας, οὐχ ἡμῖν οἰκεῖον μνήμῃ παραδιδόναι. διὸ καὶ πλέον οὐδὲν ἱστορῆσαι περὶ αὐτῶν ἔγνωμεν, ἢ δι' ὧν ἂν τὴν θείαν δικαιώσαιμεν κρίσιν. οὐκοῦν οὐδὲ τῶν πρὸς τοῦ διωγμοῦ πεπειρα-

## CAPUT II.

*De Ecclesiarum eversione.*

HÆc omnia nostris temporibus completa sunt, tunc cum ædes sacras solo æquari ac funditus subverti, sacros divinarum Scripturarum libros in medio foro concremari, oculis nostris vidimus: Et ecclesiarum Pastores, alios quidem turpiter modò hic modò illic sese occultantes: alios verò ignominio- D sè comprehensos, & inimicorum ludibrio expositos conspeximus. Tunc cum prout alius sermo Propheticus prænotaverat, effusus est contemptus super principes eorum: & errare fecit eos in invio, non autem in via. Verùm nefas mihi esse duco, tristes calamitates quæ ad extremum illis acciderunt, oratione explicare: quippe cum nec dissensiones & injurias quibus ante persecutionem mutuò inter se certarunt commemorare nobis decorum sit. Quamobrem ea duntaxat de illis tradere nobis propositum est, ex quibus æquitatem divini judicii perspicere possimus. Proinde neque eorum qui in persecu-

Vide Niceph. l. 7. c. 3.

Psal. 106.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

tione concussi sunt, nec eorum qui salutis suæ prorsus naufragium fecerunt, & sua sponte in profundum aquarum gurgitem demersi sunt, mentionem facere constitui: sed ea sola in hanc universalem historiam deinceps conjiciam, quæ primum quidem mihi ipsi, deinde verò & posteris usui esse possint. Abhinc ergo eorum qui divinæ religionis testes exstiterunt, sacra certamina describere ordiamur. Nonusdecimus agebatur annus Imperii Diocletiani, cùm mense Dystro quem Romani Martium vocant, appetente die festo Dominicæ passionis proposita sunt ubique Imperialia edicta, quibus ecclesiæ quidem ad solum usque dirui; sacri verò Codices flammis absumi jubebantur: utque honorati quidem infamia notarentur: plebeji verò libertate spoliarentur, si in Christianæ fidei proposito permansissent. Et primum quidem contra nos edictum hujusmodi fuit. Sed non multò post aliæ rursus literæ supervenerunt, quibus mandabatur ut omnes ubicumque ecclesiarum Antistites, primum quidem conjicerentur in vincula; deinde verò Diis sacrificare, omnibus modis cogerentur.

A μένων, ἢ τῶν εἰς ἅπαν τῆς σωτηρίας νεναυαγη-
κότων, αὐτῇ τε γνώμῃ τοῖς τοῦ κλύδωνος ἐναπο-
ριφέντων βυθοῖς, μνήμην ποιήσασθαι προτε-
θειμένοι. μόνα δὲ ἐκεῖνα τῇ καθόλου προσθήσο-
μεν ἱστορίᾳ, ἃ πρώτοις μὲν ἡμῖν αὐτοῖς, ἔπει-
τα δὲ καὶ τοῖς μεθ' ἡμᾶς γένοιτ' ἂν πρὸς ὠφέ-
λειας. ἴωμεν οὖν ἐντεῦθεν ἤδη, τοὺς ἱεροὺς ἀγῶ-
νας τῶν τοῦ θείου λόγου μαρτύρων ἐν ἐπιτόμῳ
διαγράψοντες. ἔτος τοῦτο ἦν ἐννεακαιδέκατον
τῆς Διοκλητιανοῦ βασιλείας· Δύστρος μὴν· λέγοι-
το δ' ἂν οὗτος Μάρτιος κατὰ Ῥωμαίους, ἐν ᾧ τῆς
B σωτηρίου πάθους ἑορτῆς ἐπελαυνούσης, ἡπλοῦτο
πανταχόσε βασιλικὰ γράμματα, τὰς μὲν
ἐκκλησίας εἰς ἔδαφος φέρειν, τὰς δὲ γραφὰς
ἀφανεῖς πυρὶ γενέσθαι προστάττοντα. καὶ τοὺς μὲν
τιμῆς ἐπειλημμένους, ἀτίμους. τοὺς δὲ ἐν οἰκε-
τίαις, εἰ ἐπιμένοιεν ἐν τῇ τοῦ χριστιανισμοῦ προ-
θέσει, ἐλευθερίας στερεῖσθαι προαγορεύοντα. καὶ ἡ
μὲν πρώτη καθ' ἡμῶν γραφή, τοιαύτη τις ἦν·
μετ' οὐ πολὺ δὲ ἑτέρων ἐπιφοιτησάντων γραμ-
μάτων, προσετάττετο τοὺς τῶν ἐκκλησιῶν προέ-
δρους πάντας τοὺς κατὰ πάντα τόπον, πρῶτα μὲν
C δεσμοῖς παραδίδοσθαι. εἶθ' ὕστερον πάσῃ μη-
χανῇ θύειν ἐξαναγκάζεσθαι.

## Caput III.

*De variis certaminum generibus quibus martyres in persecutione certarunt.*

Vide Niceph. l. 7. c. 4.

TUm verò quamplurimi ecclesiarum Rectores gravissima supplicia alacri animo perpessi, illustrium certaminum spectacula exhibuerunt. Alii quoq; non pauci fracti animis ac debilitati, primo statim impetu præ timore conciderunt. Ex reliquis varia quisque tormentorum genera expertus est. Hic flagellis concisus: Ille tormentis intolerabilibus & ungulis excruciatus. Quibus in suppliciis nonnulli etiam miserrimo mortis genere interiere. Alii item alio modo certamen suum peregerunt. Hic contrudentibus eum quibusdam, & ad impura ac nefaria sacrificia admoventibus: quasi sacrificasset dimittebatur, tametsi revera minimè sacrificasset. Alius verò cùm neq; prorsus ad aram accessisset, neq; profanum quidquam attigisset; nonnullis tamen ipsum sacrificasse dicentibus, hanc calumniam silentio dissimulans abscedebat. Hi semivivi correpti atq; humeris gestantium sublati, projiciebantur ut mortui. Illi humi

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

*Περὶ τοῦ τρόπου τῶν κατὰ τὸν διωγμὸν ἠγωνισμένων.*

TΟτε δὴ οὖν τότε, πλεῖστοι μὲν ὅσοι τῶν
ἐκκλησιῶν ἄρχοντες, δειναῖς αἰκίαις προ-
θύμως ἐναθλήσαντες, μεγάλων ἀγώνων ἱστο-
ρίας ἐπεδείξαντο· μυρίοι δ' ἄλλοι τὴν ψυχὴν
ὑπὸ δειλίας προναρκήσαντες, προχείρως
τως ἀπὸ πρώτης ἐξησθένησαν προσβολῆς· τῶν
δὲ λοιπῶν ἕκαστος εἴδη διάφορα βασάνων
D ἐνήλλαττεν· ὁ μὲν μάστιξιν αἰκιζόμενος τὸ σῶ-
μα. ὁ δὲ στρεβλώσεσι καὶ ξεσμοῖς ἀνυποί-
στοις τιμωρούμενος· ἐφ' οἷς ἤδη τινὲς οὐκ αἴ-
σιον ἀπηνέγκαντο τοῦ βίου τέλος. ἄλλοι δ' αὖ
πάλιν ἄλλως τὸν ἀγῶνα διεξήεσαν· ὁ μὲν γάρ
τις ἑτέρων βίᾳ συνωθούντων καὶ ταῖς παμμιά-
ροις καὶ ἀνάγνοις προσαγόντων θυσίαις, ὡς
τεθυκὼς ἀπηλλάττετο, καὶ εἰ μὴ τεθυκὼς ἦν.
ὁ δὲ μηδ' ὅλως προσπελάσας, μηδὲ τινὸς
ἐναγοῦς ἐφαψάμενος· εἰρηκότων δ' ἑτέρων
ὅτι τεθύκοι, σιωπῇ φέρων τὴν συκοφαντίαν ἀ-
πῄει· ἄλλος ἡμιθανὴς αἰρόμενος, ὡς ἂν ἤδη
νεκρὸς ἐρρίπτετο. καί τις αὖ πάλιν ἐπ' ἐδά-

φὺς κείμενος, μακρὰν ἐσύρετο τοῖν ποδοῖν, ἐν τεθυκόσιν αὐτοῖς λελογισμένος· ὁ δέ τις ἐβόα, καὶ μεγάλῃ διεμαρτύρετο φωνῇ τῆς θυσίας τὴν ἄρνησιν. καὶ ἄλλος χριστιανὸς εἶναι ἐκεκράγει, τῇ τοῦ σωτηρίου προσρήματος ὁμολογίᾳ λαμπρυνόμενος· ἕτερος τὸ μὴ τεθυκέναι μήτε θύσειν ποτὲ διετείνετο. ὅμως δ' οὖν καὶ οὗτοι πολυχειρίᾳ τῆς ἐπὶ τοῦτο τεταγμένης στρατιωτικῆς παρατάξεως κατὰ στόματος παιόμενοι καὶ κατασιγαζόμενοι, κατά τε προσώπου καὶ παρειῶν τυπτόμενοι, μετὰ βίας ἐξωθοῦντο. οὕτως ἐξ ἅπαντος οἱ τῆς θεοσεβείας ἐχθροὶ τὸ δοκεῖν ἠνυκέναι, περὶ πολλοῦ ἐτίθεντο. ἀλλ' οὐ καὶ κατὰ τῶν ἁγίων αὐτοῖς μαρτύρων ταῦτα προὐχώρει. ὧν εἰς ἀκριβῆ διήγησιν, τίς ἂν ἡμῖν ἐξαρκέσειε λόγος·

A jacentes, per longissimum spatium pedibus trahebantur, & inter eos qui sacrificaverant computabantur. Alius verò clamabat, & cōtenta voce testabatur se sacrificia repudiare. Alius Christianum se esse vociferabatur, salutaris hujus nominis confessionem prę se ferens. Alius item se nec sacrificasse, nec sacrificaturum unquam affirmabat. Sed & hi à numerosa militum manu ad id comparatorum pugnis in os cæsi, ac silere coacti, genis omnique facie verberibus contusa violenter expellebantur. Adeò pietatis hostes permagno utique æstimabant, si id quod voluerant, perfecisse saltem viderentur. B Verùm hæc adversus sanctissimos Dei martyres parum prosperè eis cessêre. Quorum res gestas si accuratè exponere velimus, quænam nobis oratio ad id sufficeret?

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν ἀοιδίμων τοῦ Θεοῦ μαρτύρων· ὡς πάντα τόπον ἔπλησαν τῆς ἑαυτῶν μνήμης, ποικίλους τοὺς ὑπὲρ εὐσεβείας ἀναδησάμενοι στεφάνους.

Μυρίους μὲν γὰρ ἱστορῆσαι ἄν τις θαυμαστὴν ὑπὲρ εὐσεβείας τοῦ Θεοῦ τῶν ὅλων ἐνδεδειγμένους προθυμίαν. οὐκ ἐξ ὅτουπερ μόνον ὁ κατὰ πάντων ἀνεκινήθη διωγμός, πολὺ πρότερον δὲ, καθ' ὃν ἔτι τὰ τῆς εἰρήνης συνεκροτεῖτο· ἄρτι γὰρ ἄρτι πρῶτον ὥσπερ ἀπὸ κάρου βαθέος ὑποκινουμένου τοῦ ταύτην τὴν ἐξουσίαν εἰληφότος, κρύβδην τε ἔτι καὶ ἀφανῶς μετὰ τὸν ἀπὸ Δεκίου καὶ Οὐαλεριανοῦ μεταξὺ χρόνον ταῖς ἐκκλησίαις ἐπιχειροῦντος. οὐκ ἀθρόως τε τῷ καθ' ἡμῶν ἐπαποδυομένου πολέμῳ. ἀλλ' ἔτι τῶν κατὰ τὰ στρατόπεδα μόνων ἀποπειρωμένου. ταύτῃ γὰρ καὶ τοὺς λοιποὺς ἁλῶναι ῥᾳδίως ᾤετο, εἰ πρότερον ἐκείνων καταγωνισάμενος περιγένοιτο· πλείστους παρῆν τῶν ἐν στρατείαις ὁρᾶν ἀσμενέστατα τὸν ἰδιωτικὸν προασπαζομένους βίον, ὡς ἂν μὴ ἔξαρνοι γένοιντο τῆς περὶ τὸν τῶν ὅλων δημιουργὸν εὐσεβείας. ὡς γὰρ ὁ στρατοπεδάρχης ὅστις ποτε ἦν ἐκεῖνος, ἄρτι πρῶτον ἐνεχείρει τῷ κατὰ τῶν στρατευμάτων διωγμῷ. φυλοκρινῶν καὶ διακαθαίρων τοὺς ἐν τοῖς στρατοπέδοις ἀναφερομένους. αἵρεσίν τε διδοὺς, ἢ πειθαρχοῦσιν ἧς μετῆν αὐτοῖς ἀπολαύειν τιμῆς, ἢ τοὐναντίον στέρεσθαι ταύτης, εἰ ἀντιτάττοιντο τῷ

## Caput IV.

*De illustribus Dei martyribus, quomodo totum orbem fama nominis sui impleverunt, varias pro pietate coronas adepti.*

Quippe quamplurimos referre possumus, qui pro vero supremi Numinis cultu, admirabilem animi alacritatem declararunt: idque non solum ex C quo adversus omnes Christianos excitata erat persecutio; sed & dudum antea, cum pax adhuc vigeret. Tunc enim cùm diabolus qui potestatem accepit hujus mundi, tanquam ex altissimo sopore excitari primum cœpisset, & post illud temporis intervallum quod persecutionem Decii ac Valeriani subsecutum est, clam adhuc & occultè insidiaretur Ecclesiæ; nec simul & confertim nobis bellum inferret, sed eos duntaxat qui in exercitu militabant, utpote periculum ipsorum facturus appeteret: D reliquos enim nullo negotio expugnaturum se credebat, si hos primum in certamine superasset; Tunc, inquam, cernere erat quamplurimos, qui abjecta militia privatam vitam amplecti maluerunt, quàm supremi omnium rerum Opificis cultum abnegare. Postquàm enim Dux Romani exercitus nescio quis, Christianos milites persequi aggressus, eos qui in exercitu merebant lustrare cœpisset ac recensere: & Christianis liberam eligendi potestatē fecisset, ut vel Imperatorum jussis obtemperantes honoris sui gradum retinerent; vel si parere nollent, honore mili-

Vide Nicephor. l. 7. c. 3.

tiæ nudarentur: complures regni Jesu Christi milites, nominis illius confessionem sæculari gloriæ ac felicitati qua fruebantur, absque ulla cunctatione prætulerunt. Ex quibus pauci admodum non modo dignitatem, verum etiam vitam amittere pro defensione pietatis sustinuerunt; cum is qui religioni nostræ struebat insidias, parce adhuc & rarò sanguinem quorumdam fundere auderet; deterritus ut credibile est multitudine fidelium, & universis simul bellum inferre formidans. Verùm ubi apertius se ad bellum accinxit, dici non potest quot & quantos Christi martyres in omnibus locis atque urbibus passim cernere licuerit.

A παρεσάλευμαι. πλεῖστοι ὅσοι τῆς Χριστοῦ βασιλείας στρατιῶται, τὴν εἰς αὐτὸν ὁμολογίαν μελλήσαντες, τῆς δοκούσης δόξης καὶ εὐπραγίας ἧς εἶχον, ἀναμφιλόγως προυτίμησαν. ἤδη σπανίως τούτων εἷς που καὶ δεύτερος, οὐ μόνον ἀξίας τὴν ἀποβολήν, ἀλλὰ καὶ θάνατον εὐσεβοῦς ἐνστάσεως ἀντικατηλλάττοντο. τρίως πως ἤδη τότε τοῦ τὴν ἐπιβουλὴν ἐνεργοῦντος καὶ μέχρις αἵματος ἐπ' ἐνίων φθάνειν τολμῶντος. τὸ πλῆθος ὡς ἔοικε τῶν πιστῶν δεδιττομένου τε αὐτὸν ἔτι καὶ ἀποκναίοντος, κατὰ πάντων ἀθρόως ἐφορμῆσαι πόλεμον. B καὶ γυμνότερον ἐπαπεδύετο. οὐδ' ἔστι λόγῳ δυνατὸν ἀφηγήσασθαι, ὅσους καὶ ὁποίους τοῦ Χριστοῦ μάρτυρας ὀφθαλμοῖς παρῆν ὁρᾶν, τοῖς κατὰ πάσας τάς τε πόλεις καὶ τὰς χώρας οἰκοῦσι.

## Caput V.

*De his quæ Nicomediæ gesta sunt.*

Huc refer Niceph. l. 7. c. 5.

PRimùm quidem simul ac edictum contra ecclesias propositum est Nicomediæ: vir quidam minimè obscurus, sed sæcularium honorum prærogativa inprimis conspicuus; zelo quodam divino commotus & ardore fidei incitatus, edictum illud in publico & illustri urbis loco affixum detraxit, & tanquam impium ac scelestum manibus suis discerpsit: idque duobus Imperatoribus in eadem urbe commorantibus, quorum alter senior Augustus primum inter omnes Imperii gradum, alter verò quartum obtinebat. Hic igitur cum primus omnium in ea civitate hujusmodi facinore inclaruisset; statim ea supplicia perpessus quæ post tantam audaciam ei infligenda esse credibile erat, lætitiam ac tranquillitatem animi usque ad ultimum spiritum conservavit.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

*Περὶ τῶν κατὰ Νικομήδειαν.*

ΑΥτίκα γοῦν τῶν οὐκ ἀσήμων τις, ἀλλὰ ἄγαν κατὰ τὰς ἐν τῷ βίῳ νενομισμένας ὑπεροχὰς ἐνδοξοτάτων, ἅμα τῷ τὴν κατὰ τῶν ἐκκλησιῶν ἐν τῇ Νικομηδείᾳ προτεθῆναι γραφήν, ζήλῳ τῷ κατὰ Θεὸν ὑποκινηθείς, διαπύρῳ τε ἐφορμήσας τῇ πίστει, ἐν προφανεῖ καὶ C δημοσίᾳ κειμένην, ὡς ἀνοσίαν καὶ ἀσεβεστάτην ἀνελὼν σπαράττει. δυεῖν ἐπιπαρόντων τὴν αὐτὴν πόλιν βασιλέων. τοῦ τε πρεσβυτάτου τῶν ἄλλων, καὶ τοῦ τὸν τέταρτον ἀπὸ τοῦ τῆς ἀρχῆς ἐπικρατοῦντος βαθμόν. ἀλλ' οὗτος τῶν τηνικάδε πρῶτος τοῦτον διαπρέψας τὸν τρόπον, ἅμα τε τοιαῦτα οἷα καὶ εἰκὸς ἦν ὑπομείνας ὡς ἂν ἐπὶ τοιούτῳ τολμήματι, τὸ ἄλυπον καὶ ἀτάραχον εἰς αὐτὴν τελευταίαν διετήρησεν ἀναπνοήν.

D

## Caput VI.

*De iis qui in palatio versabantur.*

Huc refer Niceph. l. 7. c. 5.

VErùm præ omnibus qui unquam sive apud Græcos sive apud Barbaros admiratione digni & ob fortitudinem celebres exstiterunt, gloriosos atque illustres Dei martyres ea tempestas tulit, Dorotheum scilicet & reliquos cubicularios pueros. Qui tametsi summi honoris prærogativa ab Imperatoribus ornati essent, nec minus ab iisdem diligerentur quàm filii; probra tamen pro pietate to-

## ΚΕΦΑΛΑΙΟΝ ς'.

*Περὶ τῶν κατὰ τοὺς βασιλικοὺς οἴκους.*

ΠΑντων δὲ ὅσοι τῶν πώποτε ἀνυμνούμενοι θαυμάσιοι καὶ ἐπ' ἀνδρείᾳ βεβοημένοι εἴτε παρ' Ἕλλησιν εἴτε παρὰ Βαρβάροις, ἤνεγκεν ὁ καιρὸς καὶ διαπρεπεῖς μάρτυρας, τοὺς ἀμφὶ τὸν Δωρόθεον βασιλικοὺς παῖδας· οἳ καὶ τῆς ἀνωτάτω τιμῆς παρὰ τοῖς δεσπόταις ἠξιωμένοι, γνησίων τε αὐτοῖς διαθέσει τέκνων οὐ λειπόμενοι. μείζονα πλοῦτον

ἀληθῶς

ἀληθῶς ἡγῆνται τῆς τοῦ βίου δόξης καὶ τρυφῆς. τοὺς ὑπὲρ εὐσεβείας ὀνειδισμούς τε καὶ πόνους· καὶ τοὺς κεκαινουργημένους ἐπ' αὐτοῖς πολυτρόπους θανάτους· ὧν ἑνός τινος οἵῳ κέχρηται μνησθέντες τῷ τοῦ βίου τέλει, σκοπεῖν ἐξ αὐτοῦ καὶ τὰ τοῖς ἄλλοις συμβεβηκότα, τοῖς ἐντυγχάνουσι καταλείψομεν· ἤγετό τις εἰς μέσον κατὰ τὴν προειρημένην πόλιν, ἐφ' ὧν δεδηλώκαμεν ἀρχόντων. θύειν δὴ οὖν προσαχθείς, ὡς ἐνίστατο, γυμνὸς μετάρσιος ἀρθῆναι κελεύεται. μάστιξί τε τὸ πᾶν σῶμα καταξαίνεσθαι, εἰσότε ἡττηθείς, καὶ ἄκων τὸ προσταττόμενον ποιήσειεν. ὡς δὲ καὶ ταῦτα πάσχων ἀδιάτρεπτος ἦν, ὄξος λοιπὸν ἤδη τῶν ὀστέων ὑποφαινομένων αὐτοῦ σὺν καὶ ἁλὶ φύραντες, κατὰ τῶν διασαπέντων τοῦ σώματος μερῶν ἐνέχεον· ὡς δὲ καὶ ταύτας ἐπάτει τὰς ἀλγηδόνας, ἐσχάρα τοὐντεῦθεν καὶ πῦρ εἰς μέσον εἵλκετο. καὶ κρεῶν ἐδωδίμων δίκην τὰ λείψανα αὐτοῦ τοῦ σώματος ὑπὸ τοῦ πυρὸς οὐκ εἰς ἄθρουν, ὡς ἂν μὴ συντόμως ἀπαλλαγείη, κατὰ βραχὺ δὲ ἀνηλίσκετο. οὐ πρότερον ἀνεῖναι τῶν ἐπιθέντων αὐτὸν τῇ πυρᾷ συγχωρουμένων, πρὶν ἂν καὶ μετὰ τοσαῦτα τοῖς προσταττομένοις ἐπινεύσειεν. ὁ δ' ἀπρὶξ ἐχόμενος τῆς προθέσεως, νικηφόρος ἐν αὐταῖς ταῖς βασάνοις ἀπέδωκε τὴν ψυχήν. τοιοῦτον τῶν βασιλικῶν ἑνὸς τὸ μαρτύριον παίδων, ἄξιον ὡς ὄντως καὶ τῆς προσηγορίας. Πέτρος γὰρ ἐκαλεῖτο. οὐ χείρονα δὲ καὶ τὰ κατὰ τοὺς λοιποὺς ὄντα, λόγου φειδόμενοι συμμετρίας, παραλείψομεν. τοσοῦτον ἱστορήσαντες, ὡς ὅ γε Δωρόθεος καὶ ὁ Γοργόνιος, ἑτέροις ἅμα πλείοσι τῆς βασιλικῆς οἰκετείας, μετὰ τοὺς πολυτρόπους ἀγῶνας βρόχῳ τὴν ζωὴν μεταλλάξαντες, τῆς ἐνθέου νίκης ἀπηνέγκαντο βραβεῖα. ἐν τούτῳ τῆς κατὰ Νικομήδειαν ἐκκλησίας ὁ τηνικαῦτα προεστὼς Ἄνθιμος, διὰ τὴν εἰς Χριστὸν μαρτυρίαν, τὴν κεφαλὴν ἀποτέμνεται· τούτῳ δὲ πλῆθος ἀθρόον μαρτύρων προστίθεται. οὐκ οἶδ' ὅπως ἐν τοῖς κατὰ τὴν Νικομήδειαν βασιλείοις, πυρκαιᾶς ἐν αὐταῖς δὴ ταῖς ἡμέραις ἀφθείσης· ἣν καθ' ὑπόνοιαν ψευδῆ πρὸς τῶν ἡμετέρων ἐπιχειρηθῆναι λόγου διαδοθέντος. παγγενῆ σωρηδὸν βασιλικῷ νεύματι τῶν τῇδε θεοσεβῶν, οἱ μὲν ξίφει κατεσφάττοντο, οἱ δὲ διὰ πυρὸς ἐτελειοῦντο. ὅτε λόγος ἔχει, προθυμίᾳ θείᾳ τινὶ καὶ ἀρρήτῳ, ἄνδρας ἅμα γυναιξὶν ἐπὶ

A lerata, & ærumnas, ac diversa mortis genera adversus ipsos excogitata, majoris revera pretii esse duxerunt, quàm gloriam ac delicias hujus sæculi. Horum igitur unius duntaxat hîc exitum referam, ut ex illo lectores conjicere possint quid reliquis contigerit. Productus est in medium quidam illorum in urbe superius memorata, coram iis quos dixi Imperatoribus. Jussusque Diis sacrificare; cum id pertinaciter recusaret, nudato corpore sublimis
B tolli præcipitur, & verberibus concidi quoad tandem vel invitus jussis obtemperaret. Sed cum ille hujusmodi tormentis excarnificatus, in eadem sententia firmus permaneret: ipsis jam ossibus denudatis, commixtum sale acetum tabescentibus corporis membris infuderunt. Quos dolores cum ille etiam toleraret, craticula deinceps & ignis in medium affertur. Et reliquiæ corporis ipsius, instar carnium quæ ad cibum parantur, igne assatæ sunt; idque non simul ac semel, sed paulatim; ne scilicet celeri exitu defungeretur. Nec carnifices qui eum
C rogo imposuerant, dimittere illum sinebantur, nisi prius jussis post tot cruciatus acquievisset. Verum ille in eadem semper sententia perseverans, victor ipsis in tormentis animam exhalavit. Hujusmodi fuit martyrium unius ex Imperatoris cubiculariis: digni profectò suo nomine. Petrus enim ille vocabatur. Reliquorum verò martyria nihilo inferiora, tamen brevitatis studio hîc omittemus. Id tantum retulisse sufficiet, quòd Dorotheus & Gorgonius unà cum aliis pluribus qui in palatio ministrabant, post cujusquemodi certamina elisis laqueo fau-
D cibus, divinæ victoriæ præmium adepti sunt. Tunc etiam Anthimus ecclesiæ Nicomediensis Episcopus, ob confessionem Christi in eadem urbe capite truncatus est. Huic adjuncta est ingens martyrum multitudo. Quippe iisdem diebus nescio quo casu, in palatio excitatum erat incendium. Cujus cùm nostros auctores fuisse publicus rumor falsa suspicione jactasset, Imperiali jussu quotquot illic erant Dei cultores, acervatim cum suis familiis; alii gladio; flammis alii consumpti periere. Tunc divina quadam alacritate quæ verbis explicari non potest, conciti viri simul ac mulieres, in ardentem rogum insiliisse dicuntur.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

A Alios quoque innumerabiles vinctos & scaphis impositos, carnifices in profundum mare projecere. Sed & corpora regiorum cubiculariorum quæ post mortem convenienti tradita fuerant sepulturæ, ipsi eorum legitimi domini erui ex sepulchro & in mare projici oportere censuerunt, ne quis illos sepulchris conditos, pro Diis, ut ipsi quidem opinabantur, reputans, inposterum adoraret. Et hæc quidem in ipso persecutionis exordio Nicomediæ gesta sunt. Ceterùm paulò pòst cùm alii in Melitina Armeniæ regione, alii in Syria Imperium arripere conati essent: B promulgatum est Imperatoris edictum, ut omnes ubique Ecclesiarum Antistites vincti in carcerem truderentur. Earum verò rerum quæ postea factæ sunt spectaculum, omnem prorsus dicendi copiam superabat; quippe cùm innumerabilis ubique hominum multitudo custodiæ manciparetur: & carceres olim homicidis & sepulchrorum expilatoribus deputati, tunc Episcopis, Presbyteris, Diaconis, Lectoribus atq; Exorcistis complerentur; adeo ut iis qui ob crimina condemnati fuerant, C nullus jam locus superesset. Rursus verò cùm aliud edictum priora illa subsecutum fuisset, quo præcipiebatur ut carceribus inclusi, siquidem sacrificassent, liberi abire sinerentur; sin verò id renuerent, tormentis gravissimis cruciarentur; vix jam iniri numerus potest omnium qui deinceps in singulis provinciis passi sunt Martyrum; ac præsertim eorum qui per Africam & Mauritaniam, per Thebaïdem & Ægyptum sunt interfecti. Ex Ægypto quidem nonnulli in alias quoque urbes ac provincias transgressi, nobilibus martyriis inclaruerunt. D

A τὴν πυρὰν καθάλλεσθαι. δήσαντες δ' οἱ δήμιοι ἀλλότι πλῆθος ἐπὶ σκάφαις, τοῖς θαλαττίοις ἐναπερρίπτουν βυθοῖς. τοὺς δέ γε βασιλικοὺς μετὰ θάνατον παῖδας, γῇ μετὰ τῆς προσηκούσης κηδείας παραδοθέντας, αὖθις ἐξ ὑπαρχῆς ἀνορύξαντες ἐναπορρῖψαι θαλάσσῃ καὶ αὐτοὺς ᾤοντο δεῖν οἱ νενομισμένοι δεσπόται, ὡς ἂν μὴ ἐν μνήμασιν ἀποκειμένους προσκυνοῖεν τινὲς θεοὺς αὐτούς, ὥς γε ᾤοντο, λογιζόμενοι. καὶ τὰ μὲν ἐπὶ τῆς Νικομηδείας κατὰ τὴν ἀρχὴν ἀποτελεσθέντα τοῦ διωγμοῦ, τοιαῦτα. οὐκ εἰς μακρὸν δ' ἑτέρων κατὰ τὴν Μελιτινὴν οὕτω καλουμένην χώραν, B καὶ αὖ πάλιν ἄλλων ἀμφὶ τὴν Συρίαν ἐπιφυῆναι τῇ βασιλείᾳ πεπειραμένων. τοὺς πανταχόσε τῶν ἐκκλησιῶν προεστῶτας εἱρκταῖς καὶ δεσμοῖς ἐνεῖραι πρόσταγμα ἐφοίτα βασιλικόν· καὶ ἦν ἡ θέα τῶν ἐπὶ τούτοις γινομένων, πᾶσαν διήγησιν ὑπεραίρουσα. μυρίου πλήθους ἐν παντὶ τόπῳ καθειργνυμένου. καὶ τὰ πανταχῇ δεσμωτήρια ἀνδροφόνοις καὶ τυμβωρύχοις πάλαι πρότερον ἐπεσκευασμένα, τότε πληρούντων Ἐπισκόπων καὶ πρεσβυτέρων καὶ C διακόνων, ἀναγνωστῶν τε καὶ ἐπορκιστῶν, ὡς μηδὲ χώραν ἔτι τοῖς ἐπὶ κακουργίαις κατακεκριμένοις αὐτόθι καταλείπεσθαι. αὖθις δ' ἑτέρων τὰ πρῶτα γράμματα ἐπικατειληφότων, ἐν οἷς τοὺς κατακλείστους, θύσαντας μὲν, ἐᾶν βαδίζειν ἐπ' ἐλευθερίας. ἐνισταμένους δὲ μυρίαις καταξαίνειν προσετάττετο βασάνοις. πῶς ἂν πάλιν ἐνταῦθα τῶν καθ' ἑκάστην ἐπαρχίαν μαρτύρων ἀριθμήσειέ τις τὸ πλῆθος, καὶ μάλιστα τῶν κατὰ τὴν Ἀφρικὴν καὶ τὸ Μαύρων ἔθνος, Θηβαΐδα τε καὶ κατ' Αἴγυπτον· ἐξ ἧς καὶ εἰς ἑτέρας ἤδη προελθόντες πόλεις τε καὶ ἐπαρχίας, διέπρεψαν τοῖς μαρτυρίοις.

## Caput VII.

*De Ægyptiis qui in Phœnice passi sunt.*

Huc refer Niceph. l. 7. c. 7.

Et quosdam quidem illorum in Palæstina claruisse novimus, quosdam verò apud Tyrum urbem Phœnices. quos quis est qui cum videret, nō admiratus sit innumerabiles ictus flagrorum, & in iis perferendis constantiam illorū re vera illustrium Christianæ fidei athletarum: & post verbera certamen cum bestiis humanum sanguinem lambere assuetis: atque in eo certamine incursus

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν κατὰ Φοινίκην Αἰγυπτίων.

Ἴσμεν γοῦν τοὺς ἐξ αὐτῶν διαλάμψαντας ἐν Παλαιστίνῃ. ἴσμεν δὲ καὶ τοὺς ἐν Τύρῳ τῆς Φοινίκης· οὓς τίς ἰδών, οὐ κατεπλάγη τὰς ἀναριθμήτους μάστιγας. καὶ τὰς ἐν τούτοις τῶν ὡς ἀληθῶς παραδόξων τῆς θεοσεβείας ἀθλητῶν ἐνστάσεις. τόν τε παραχρῆμα μετὰ τὰς μάστιγας ἐν θηρσὶν αἱμοβόροις ἀγῶνα. καὶ τὰς ἐν τούτῳ παρδάλεων καὶ διαφόρων ἄρκτων, συῶν τε

ἀγρίων καὶ πυρὶ καὶ σιδήρῳ κεκαυτηριασμένων προσβολάς. καὶ τὰς πρὸς ἕκαστον τῶν θηρίων θαυμασίους τῶν γενναίων ὑπομονάς· οἷς γινομένοις καὶ αὐτοὶ παρῆμεν, ὁπηνίκα τοῦ μαρτυρουμένου σωτῆρος ἡμῶν αὐτοῦ δὴ Ἰησοῦ Χριστοῦ τὴν θείαν δύναμιν ἐπιπαροῦσαν, ἐναργῶς τε αὐτὴν τοῖς μάρτυσιν ἐπιδεικνῦσαν ἱστορήσαμεν. τῶν ἀνθρωποβόρων ἐπὶ πλείονα χρόνον μὴ προσψαύειν μὴ δὲ πλησιάζειν τοῖς τῶν θεοφιλῶν σώμασιν ἐπιτολμώντων· ἀλλ᾽ ἐπὶ μὲν τοὺς ἄλλους, ὅσοι δήπουθεν ἔξωθεν ἐρεθισμοῖς παρώρμων αὐτὰ φερομένων. μόνων δὲ τῶν ἱερῶν ἀθλητῶν γυμνῶν ἑστώτων καὶ ταῖς χερσὶ κατασειόντων, ἐπί τε σφᾶς αὐτοὺς ἐπισπωμένων (τοῦτο γὰρ αὐτοῖς ἐκελεύετο πράττειν) μηδ᾽ ὅλως ἐφαπτομένων· ἀλλ᾽ ἔσθ᾽ ὅπῃ μὲν καὶ ἐπ᾽ αὐτοὺς ὁρμώντων. οἷα δὲ πρός τινος θειοτέρας δυνάμεως ἀνακρουομένων, καὶ αὖ πάλιν εἰς τοὐπίσω χωρούντων. ὃ καὶ εἰς μακρὸν γινόμενον, θαῦμα παρεῖχεν οὐ σμικρὸν τοῖς θεωμένοις· ὥστε ἤδη διὰ τὸ ἄπρακτον τοῦ πρώτου δεύτερον καὶ τρίτον προσαφίεσθαι ἑνὶ καὶ τῷ αὐτῷ μάρτυρι θηρίον. καταπλαγῆναι δ᾽ ἦν τὴν ἐπὶ τούτοις ἄπτοητον τῶν ἱερῶν ἐκείνων καρτερίαν, καὶ τὴν ἐν σώμασι νέοις βεβηκυῖαν καὶ ἀδιάτρεπτον ἔνστασιν. ἑώρας γοῦν ἡλικίαν οὐδ᾽ ὅλων ἐτῶν εἴκοσι, δίχα δεσμῶν ἑστῶτος νέου. καὶ τὰς μὲν χεῖρας ἐφαπλοῦντος εἰς σταυροῦ τύπον. ἀκαταπλήκτῳ δὲ καὶ ἀτρεμεῖ διανοίᾳ ταῖς πρὸς τὸ θεῖον σχολαίτατα τεταμένου λιταῖς, μηδ᾽ ὅλως τε μεθισταμένου μηδ᾽ ἀποκλίνοντός ποι τοῦ ἔνθα εἱστήκει τόπου. ἄρκτων καὶ παρδάλεων θυμοῦ καὶ θανάτου πνεόντων, καὶ σχεδὸν αὐτῆς καθαπτομένων αὐτοῦ τῆς σαρκός. ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως θείᾳ καὶ ἀπορρήτῳ δυνάμει μονονουχὶ φραττομένων τὸ στόμα, καὶ αὖθις παλινδρομούντων εἰς τοὐπίσω. καὶ οὗτος μὲν οὖν τοιοῦτός τις ἦν. πάλιν δ᾽ ἂν ἑτέρους εἶδες, πέντε γὰρ οἱ πάντες ἐτύγχανον, ἠγριωμένῳ ταύρῳ παραβληθέντας· ὃς τοὺς μὲν ἄλλους τῶν ἔξωθεν προσιόντων, τοῖς κέρασιν εἰς τὸν ἀέρα ῥίπτων διεσπάραττεν, ἡμιθνῆτας αἴρεσθαι καταλιπών· ἐπὶ μόνους δὲ θυμῷ καὶ ἀπειλῇ τοὺς ἱεροὺς ὁρμῶν μάρτυρας, οὐδὲ πλησιάζειν αὐτοῖς οἷός τε ἦν· κυρίττων δὲ τοῖς ποσὶ καὶ τοῖς κέρασι τῇδε κἀκεῖσε χρώμενος, καὶ διὰ τοὺς τῶν καυτήρων ἐρεθισμοὺς θυμοῦ καὶ ἀπειλῆς

A pardorum, & ursorum immanium, aprorum etiam & taurorum, quos admoto igne & candenti ferro adversus illos incitabant: admirabilem denique fortissimorum martyrum in singulis bestiis sustinendis patientiam. Quæ cum gererentur, nos ipsi præsentes aderamus: ubi & divinam potentiam Servatoris nostri Jesu Christi, cui tunc martyres testimonium perhibebant, præsentem & semetipsam manifestè martyribus exhibentem perspeximus. Siquidem voracissimæ bestiæ, longo temporis spatio nec attingere Sanctorum corpora, nec propius accedere sunt ausæ. Verum in alios quidem, qui à fide nostra a-
B lieni ipsas instigabant, impetum suum converterunt. Solos vero sacrosanctos athletas, qui nudis corporibus stabant, & commotis manibus eas in semetipsos provocabant (id enim facere jubebantur) ne contigerunt quidem. Immo interdum quidem in eos irruebant: sed protinus quasi divina quadam virtute repulsæ, retrò cedebant. Quæ cum diutius fierent, non mediocri admiratione defixi erant spectatores: adeout ob cassum & inanem prioris bestiæ incursum, altera rursus ac tertia in unum eundemq; martyrem emitteretur. Mi-
C rari tunc licebat intrepidam erga hæc Sanctorum constantiam, & stabilem atque inconcussam in teneris corporibus animi fortitudinem. Quippe vidisses tunc adolescentulum vixdum vicesimum ætatis annum ingressum, absque vinculis stantem: & manibus in crucis formam expansis, firmoq; & impavido animo attentissimè Deo supplicantem; nec ab eo in quo steterat loco recedentem aut ullatenus declinantem: cum interim ursi & pardi furorem ac mortem anhelitu ipso spirantes, membra illius pænè jam morsibus invaderent. Qui tamen nescio quo pacto, constrictis divina quadam & arcana virtute ipsorum faucibus, retro protinus abscedebant. Et hic quidem se gessit isto quem diximus modo. Rursus verò alios vidisses (erant enim omnes numero quinque) efferato objectos tauro, qui alios quidem ex infidelium numero cornib⁹ in sublime jactatos discerpebat ac semivivos asportandos relinquebat: ad solos autem sacros martyres, cum in eos furens & minabundus irrueret, ne accedere quidem poterat. Sed pedibus terram quatiens, & hac illac jactans cornua, atque ob candentis ferri stimulos



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

furorem ac minas spirans, nihilominus A divina obsistente providentia retrò avertebatur. Proinde cum nullatenus ab eo læsi essent, aliæ rursus in illos immissæ sunt bestiæ. Tandem deniq; post multiplices & horrendos bestiarum incursus cuncti gladio confossi, sepulchri loco marinis gurgitibus commendati sunt.

πνέων, εἰς τοὐπίσω πρὸς τῆς ἱερᾶς ἀνθείλκετο προνοίας· ὡς μὴ δὲ τούτου μηδὲν μηδαμῶς τοὺς ἀδικήσαντος, ἕτερα ἄττα αὐτοῖς ἐπαφίεσθαι θηρία. τέλος δὴ ὅμως μετὰ τὰς δεινὰς ποικίλας τούτων προσβολάς, ξίφει καταστραφέντες οἱ πάντες, ἀντὶ γῆς καὶ τάφων τοῖς θαλαττίοις παραδίδονται κύμασι.

## Caput VIII.

*De iis qui in Ægypto passi sunt.*

Huc refer Niceph. l. 7. c. 8.

HUjusmodi fuit certamen Ægyptiorum, qui in urbe Tyro pro pietate gloriosè dimicarunt. Sed & B illos Ægyptios qui domi martyrium perpessi sunt, meritò quis admiretur. Illic enim viri prope innumerabiles cum uxoribus & liberis, pro Servatoris nostri doctrina temporalem hanc vitam aspernati, varia mortis genera sustinuerunt: alii quidem post ungulas ac fidiculas, post crudelissima verbera & varios ipso etiam dictu horrendos cruciatus flammis absumpti: alii verò in mare demersi. Alii carnificibus capita sua amputanda alacri animo præbuerunt. Nonnulli tormentis ipsis immortui; quidam fame consumpti. Alii denique in crucem acti; C pars eo modo quo malefici vulgò suffigi solent: pars atrocius, capite deorsum verso clavis confixi, & vivi eò usque servati, quoad in ipsis patibulis fame interiissent.

## ΚΕΦΑΛΑΙΟΝ Η.

Περὶ τῶν κατὰ τὴν Αἴγυπτον.

ΚΑὶ τοιοῦτος μὲν ὁ ἀγὼν τῶν κατὰ Τύρον ὑπὲρ εὐσεβείας ἄθλους ἐνδειξαμένων Αἰγυπτίων. θαυμάσειε δ' ἄν τις αὐτῶν καὶ τοὺς ἐπὶ τῆς οἰκείας γῆς μαρτυρήσαντας· ἔνθα μυρίοι τὸν ἀριθμὸν ἄνδρες ἅμα γυναιξὶ καὶ παισὶν ὑπὲρ τῆς τοῦ Σωτῆρος ἡμῶν διδασκαλίας τὸ πρόσκαιρον ζῆν καταφρονήσαντες, διαφόρους ὑπέμειναν θανάτους. οἱ μὲν αὐτῶν μετὰ ξεσμοὺς καὶ στρεβλώσεις μάστιγάς τε χαλεπωτάτας καὶ μυρίας ἄλλας ποικίλας καὶ φρικτὰς ἀκοῦσαι βασάνους, πυρὶ παραδοθέντες· οἱ δὲ πελάγει καταβροχισθέντες. ἄλλοι δὲ εὐθαρσῶς τοῖς ἀποτέμνουσι τὰς ἑαυτῶν προτείναντες κεφαλάς· C οἱ δὲ καὶ ἐναποθανόντες ταῖς βασάνοις. ἕτεροι λιμῷ διαφθαρέντες. καὶ ἄλλοι πάλιν ἀνασκολοπισθέντες. οἱ μὲν κατὰ τὸ σύνηθες τοῖς κακούργοις, οἱ δὲ καὶ χειρόνως ἀνάπαλιν κατωκάρα προσηλωθέντες. τηρούμενοί τε ζῶντες, εἰς ὅτε ἐπ' αὐτῶν ἰκρίων λιμῷ διαφθαρεῖεν.

## Caput IX.

*De iis qui in Thebaïde passi sunt.*

Huc refer Niceph. l. 7. c. 8.

VErùm omnem dicendi copiam D superant cruciatus illi ac dolores quos apud Thebaïdem martyres pertulerunt, acutis testis vice ungularum adhibitis toto corpore ad mortem usque lacerati. Mulieres verò altero pede religatæ sublimes capite deorsum vergente, machinis quibusdam in altum sublatæ, nudisque ac prorsus intectis corporibus, fœdissimum simul atque inhumanissimum spectaculum cunctis intuentibus præbuerunt. Alii rursus ad arbores & ramos alligati interiere. Nam cum robustissimos ramos inflexos machinamentis quibusdam in unum coire fe-

## ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ τῶν κατὰ Θηβαΐδα.

ΠΆντα δ' ὑπεραίρει λόγον, καὶ ἃς ὑπέμειναν αἰκίας καὶ ἀλγηδόνας οἱ κατὰ Θηβαΐδα μάρτυρες. D ὀστράκοις ἀντὶ ὀνύχων ὅλον τὸ σῶμα καὶ μέχρις ἀπαλλαγῆς τοῦ βίου καταξαινόμενοι. γυναῖκές τε τοῖν ποδοῖν ἐξ ἑνὸς ἀποδεσμούμεναι, μετέωροί τε καὶ διὰ μέσου κάτω κεφαλὴν μαγγάνοις τισὶν εἰς ὕψος ἀνελκόμεναι. γυμνοῖς τε παντελῶς καὶ μηδ' ὅλως ἐπικεκαλυμμένοις τοῖς σώμασι, θέαν ταύτην αἰσχίστην καὶ πάντων ὠμοτάτην καὶ ἀπανθρωποτάτην τοῖς ὁρῶσιν ἅπασι παρεχόμεναι. ἄλλοι δ' αὖ πάλιν δένδρεσι καὶ πρέμνοις ἐναπέθνησκον δεσμούμενοι. τοὺς γὰρ μάλιστα στερροτάτους τῶν κλάδων μηχαναῖς τισὶν ἐπὶ ταὐτὸ συνέλκοντες, εἰς ἑκάτερά τε τούτων τὰ τῶν

μαρτύρων ἀπολείποντες σκέλη, εἰς τὴν ἑαυτῶν ἠφίεσαν τοὺς κλάδους φέρεσθαι φύσιν. ἄθρουν τῶν μελῶν διασπασμὸν καθ' ὧν ταῦτ' ἐνεχείρουν, ἐπινοοῦντες. καὶ ταῦτά γε πάντα ἐνηργεῖτο οὐκ ἐπ' ὀλίγας ἡμέρας ἢ χρόνον τινὰ βραχὺν, ἀλλ' ἐπὶ μακρὸν ὅλων ἐτῶν διάστημα. ὅτε μὲν πλειόνων ἢ δέκα, ὅτε δὲ ὑπὲρ τοὺς εἴκοσι τὸν ἀριθμὸν ἀναιρουμένων. ἄλλοτε δὲ οὐχ ἧττον καὶ τριάκοντα· ἤδη δ' ἐγγύς που καὶ ἑξήκοντα· καὶ πάλιν ἄλλοτε ἑκατὸν ἐν ἡμέρᾳ μιᾷ ἄνδρες ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶν ἐκτείνοντο, ποικίλαις καὶ ἐναλλαττούσαις τιμωρίαις καταδικαζόμενοι. ἱστορήσαμεν δὲ καὶ αὐτοὶ ἐπὶ τῶν τόπων γενόμενοι, πλείους ἀθρόως κατὰ μίαν ἡμέραν. τοὺς μὲν τῆς κεφαλῆς ἀποτομὴν ὑπομείναντας, τοὺς δὲ τὴν διὰ πυρὸς τιμωρίαν· ὡς ἀμβλύνεσθαι φονεύοντα τὸν σίδηρον, ἀτονοῦντά τε διαθλᾶσθαι. αὐτούς τε τοὺς ἀναιροῦντας ἀποκάμνοντας, ἀμοιβαδὸν ἀλλήλους διαδέχεσθαι. ὅτε καὶ θαυμασιωτάτην ὁρμὴν, θείαν τε ὡς ἀληθῶς δύναμιν καὶ προθυμίαν τῶν εἰς τὸν Χριστὸν τοῦ Θεοῦ πεπιστευκότων συνεωρῶμεν. ἅμα γοῦν τῇ κατὰ τῶν προτέρων ἀποφάσει, ἐπεπήδων ἄλλοθεν ἄλλοι τῷ πρὸ τοῦ δικαστοῦ βήματι, χριστιανοὺς σφᾶς ὁμολογοῦντες. ἀφροντίστως μὲν πρὸς τὰ δεινὰ καὶ τοὺς τῶν πολυειδῶν βασάνων τρόπους διακείμενοι. ἀκαταπλήκτως δὲ παρρησιαζόμενοι ἐπὶ τῇ εἰς τὸν τῶν ὅλων Θεὸν εὐσεβείᾳ. μετά τε χαρᾶς καὶ γέλωτος καὶ εὐφροσύνης τὴν ὑστάτην ἀπόφασιν τοῦ θανάτου καταδεχόμενοι. ὥστε ψάλλειν, καὶ ὕμνους καὶ εὐχαριστίας εἰς τὸν τῶν ὅλων Θεὸν μέχρις αὐτῆς ἐσχάτης ἀναπέμπειν ἀναπνοῆς. θαυμάσιοι μὲν οὖν καὶ οὗτοι· ἐξαιρέτως δ' ἐκεῖνοι θαυμασιώτεροι, οἱ πλούτῳ μὲν καὶ εὐγενείᾳ καὶ δόξῃ, λόγῳ τε καὶ φιλοσοφίᾳ διαπρέψαντες. πάντα γε μὴν δεύτερα θέμενοι τῆς ἀληθοῦς εὐσεβείας, καὶ τῆς εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστεως· οἷος Φιλόρωμος ἦν. ἀρχήν τινα οὐ τὴν τυχοῦσαν τῆς κατ' Ἀλεξάνδρειαν βασιλικῆς διοικήσεως ἐγκεχειρισμένος. ὃς μετὰ τοῦ ἀξιώματος καὶ τῆς Ῥωμαϊκῆς τιμῆς ὑπὸ στρατιώταις δορυφορούμενος, ἑκάστης ἀνεκρίνετο ἡμέρας· Φιλέας τε τῆς Θμοιτῶν ἐκκλησίας Ἐπίσκοπος. διαπρέψας ἀνὴρ ταῖς κατὰ τὴν πατρίδα πολιτείαις τε καὶ λειτουργίαις. ἔν τε τοῖς κατὰ φιλο-

A cissent, martyrum cruribus utrimque ad
eos religatis, ramos in proprium ac naturalem situm reverti sinebant, ut membra eorum adversus quos hæc excogitaverant, uno simul impetu discerperentur. Atque hæc omnia non paucis diebus nec exiguo temporis spatio, sed prolixo aliquot annorum curriculo continue perpetrata sunt: cum nunc deni; interdum viceni & amplius; nonnunquam ad triginta usque & sexaginta; quandoque & centeni viri simul ac mulieres cum parvulis uno die interficerentur, variis ac per vices alternatis
B supplicijs addicti. Nos quoque cùm in
illis partibus degeremus, quamplurimos acervatim uno die: alios quidem capite truncatos, alios verò flammis traditos vidimus. Adeo ut gladii ipsi hebetarentur, & cædere amplius non valentes frangerentur; ipsique carnifices viribus fatiscentes, sibi invicem succederent. Quo quidem tempore mirabilem inprimis animi ardorem, veréque divinam virtutem & alacritatem eorum qui in Christum Dei crediderant, oculis nostris conspeximus. Etenim vixdum adversus primos lata erat senten-
C tia, cum alii aliunde ad tribunal Judicis
prosilierunt, Christianos sese confessi. Et pericula quidem cunctaque multiformium tormentorum genera parvi ducebant: supremi verò omnium Numinis cultum libera voce absque ullo metu profitebantur; & cum gaudio atque hilaritate, ridentes capitalem sententiam excipiebant: adeo ut in laudem Conditoris omnium Dei Psalmos hymnosque & gratiarum actiones ad extremum usque spiritum concinerent. Et hi quidem admiratione profectò digni exstiterunt. Verum ii maximam
D præ cunctis laudem atque admiratio-
nem merentur, qui opibus ac nobilitate pollentes, & ob eloquentiam ac Philosophiæ studium non mediocrem gloriam consecuti, tamen veram pietatem & fidem in Dominum ac Servatorem nostrum Jesum Christum his omnibus præposuerunt. Hujusmodi fuit Philoromus: qui non vulgarem Magistratum, Procuratoris scilicet summæ rei apud Alexandriam gerebat; & pro dignitate ac prærogativa honoris Romani, stipatus militibus quotidie jus dicebat. Hujusmodi etiam fuit Phileas Ecclesiæ Thmuitarum Episcopus; vir cunctis in patria honoribus ac muneribus summa cum laude perfunctus, & in Phi-

losophiæ studiis admodum clarus. Qui cùm innumeri cognati atque amici, quidam etiam ex Magistratibus atque honoratis eos rogarent; cum judex ipse eos cohortaretur ut sui ipsorum misereri, & uxoribus ac liberis suis consulere vellent: nunquam his omnibus adduci potuerunt, ut vitæ suæ conservandæ causa, divinas leges de confessione & negatione nominis Christi latas contemnerent: sed virili ac Philosophico animo, seu potius religiosa ac Deo dicata mente, adversus omnes Judicis minas & contumelias ambo perstantes, securi percussi sunt.

A σοφίαν λόγοις· οἱ καὶ μυρίων ὅσων πρὸς αἵματός τε καὶ τῶν ἄλλων φίλων ἀντιβολούντων, ἔτι μὴν τῶν ἐπ' ἀξίας ἀρχόντων, πρὸς δὲ καὶ τοῦ τοῦ δικαστοῦ παρακαλοῦντος, ὡς ἂν αὐτῶν οἶκτον λάβοιεν, φειδώ τε παίδων καὶ γυναικῶν ποιήσαιντο. οὐδαμῶς πρὸς τῶν τοσούτων ἐπὶ τῷ φιλοζωῆσαι μὲν ἑλέσθαι, καταφρονῆσαι δὲ τῶν περὶ ὁμολογίας καὶ ἀρνήσεως τοῦ σωτῆρος ἡμῶν θεσμῶν ὑπήχθησαν· ἀνδρείῳ δὲ λογισμῷ καὶ φιλοσόφῳ, μᾶλλον δὲ εὐσεβεῖ καὶ φιλοθέῳ ψυχῇ, πρὸς ἁπάσας τοῦ δικαστοῦ τάς τε
B ἀπειλὰς καὶ τὰς ὕβρεις ἐνστάντες, ἄμφω τὰς κεφαλὰς ἀπετμήθησαν.

## Caput X.

*De his quæ Alexandriæ gesta sunt, testimonium Phileæ martyris.*

Huc refer Niceph. l. 7. c. 9.

VErùm quandoquidem Phileam in Græcorum disciplinis apprimè versatum fuisse retulimus, ipse nunc prodeat, tum de seipso testimonium dicturus, quis & unde fuerit: tum martyria illa quæ per id tempus Alexandriæ contigerunt, accuratius quàm nos relaturus his verbis. Ex epistola Phileæ ad Thmuitas. Hæc igitur omnia exempla ac signa, & pulcherrima documenta in sacris literis exstare cum scirent beatissimi qui nobiscum versati sunt martyres; absque ulla cunctatione, oculum mentis in supremum omnium Deum sincerè defigentes, & mortem pro pietate libenti animo amplectentes, vocationi suæ pertinaciter inhæserunt. Quippe qui probè nossent Dominum nostrum Jesum Christum nostrâ causâ hominem idcircò factum fuisse, ut & peccatum omninò exscinderet, & ad vitam æternam contendentibus nobis subsidia itineris compararet. Non enim rapinam arbitratus est Christus esse se æqualem Deo; sed exinanivit seipsum, servi formam induens: & specie ipsa inventus quasi homo, humiliavit semetipsum usque ad mortem; & quidem mortem crucis. Proinde meliora charismata consectantes martyres qui Christum gestabant, omnes ærumnas, omnia tormentorum genera quæ excogitari potuerant, non semel, sed iterum ac sæpius nonnulli sustinuerunt. Et cùm satellites non solum verbis minantes, sed etiam factis terrorem ipsis incutere certatim niterentur, non tamen

Phil. 2.

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

Φιλέου μάρτυρος περὶ τῶν κατ' Ἀλεξάνδρειαν πεπραγμένων ἔγγραφοι διδασκαλίαι.

ΕΠεὶ δὲ καὶ τῶν ἔξωθεν μαθημάτων ἕνεκα πολλοῦ λόγου ἄξιον γενέσθαι τὸν Φιλέαν ἔφαμεν, αὐτὸς ἑαυτοῦ παρίτω μάρτυς, ἅμα μὲν ἑαυτὸν ὅς τίς ποτ' ἦν ἀποδείξων, ἅμα δὲ καὶ τὰ κατ' αὐτὸν ἐν τῇ Ἀλεξανδρείᾳ
C συμβεβηκότα μαρτύρια, ἀκριβέστερον μᾶλλον ἢ ἡμεῖς ἱστορήσων διὰ τούτων τῶν λέξεων. Ἀπὸ τῶν Φιλέου πρὸς Θμουΐτας γραμμάτων. Τούτων ἁπάντων ὑποδειγμάτων ἡμῖν καὶ ὑπογραμμῶν καὶ καλῶν γνωρισμάτων ἐν ταῖς θείαις καὶ ἱεραῖς γραφαῖς κειμένων, οὐδὲν μελλήσαντες οἱ μακάριοι οἱ σὺν ἡμῖν μάρτυρες, τὸ τῆς ψυχῆς ὄμμα πρὸς τὸν ἐπὶ πάντων Θεὸν καθαρῶς τείναντες, καὶ τὸν ἐπ' εὐσεβείᾳ θάνατον ἐν νῷ λαβόντες, ἀπρὶξ τῆς κλήσεως εἴχοντο. τὸν μὲν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὑρόντες ἐνανθρωπήσαντα δι' ἡμᾶς, ἵνα πᾶ-
D σαν μὲν ἁμαρτίαν ἐκκόψῃ, ἐφόδια δὲ τῆς εἰς τὴν αἰώνιον ζωὴν εἰσόδου ἡμῖν καταβάληται· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἑαυτὸν ἐταπείνωσεν ἕως θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ζηλώσαντες τὰ μείζονα χαρίσματα οἱ Χριστοφόροι μάρτυρες, πάντα μὲν πόνον καὶ παντοίας αἰκισμῶν ἐπινοίας οὐχ εἰσάπαξ, ἀλλ' ἤδη καὶ δεύτερον τινὲς ὑπέμειναν. πάσας δὲ ἀπειλὰς οὐ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις τῶν δορυφόρων κατ' αὐτῶν φιλοτιμουμένων, οὐκ ἐνεδίδουν

A τὴν γνώμην, διὰ τὸ τὴν τελείαν ἀγάπην ἔξω βάλλειν τὸν φόβον. ὧν καταλέγειν τὴν ἀρετὴν καὶ τὴν ἐφ' ἑκάστῃ βασάνῳ ἀνδρείαν, τίς ἂν ἀρκέσειε λόγος; ἀνέσεως γὰρ οὔσης ἅπασι τοῖς βουλομένοις ἐνυβρίζειν, οἱ μὲν ξύλοις ἔπαιον, ἕτεροι δὲ ῥάβδοις, ἄλλοι δὲ μάστιξιν, ἕτεροι δὲ πάλιν ἱμᾶσιν, ἄλλοι δὲ σχοινίοις. καὶ ἦν ἡ θέα τῶν αἰκισμῶν ἐνηλλαγμένη, καὶ πολλὴν τὴν ἐν αὐτῇ κακίαν ἔχουσα. οἱ μὲν γὰρ ὀπίσω τὼ χεῖρε δεθέντες, περὶ τὸ ξύλον ἐξηρτῶντο, καὶ μαγγάνοις τισὶ διετείνοντο πᾶν μέλος· εἶθ' οὕτως διὰ παντὸς τοῦ σώματος ἐπῆγον ἐκ κελεύσεως οἱ βασανισταί, οὐ καθάπερ τοῖς φονεῦσιν ἐπὶ τῶν B πλευρῶν μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς καὶ κνημῶν καὶ παρειῶν τοῖς ἀμυντηρίοις ἐκόλαζον· ἕτεροι δὲ ἀπὸ τῆς στοᾶς μιᾶς χειρὸς ἐξηρτημένοι αἰωροῦντο, πάσης ἀλγηδόνος δεινοτέραν τὴν ἀπὸ τῶν ἄρθρων καὶ μελῶν τάσιν ἔχοντες· ἄλλοι δὲ πρὸς τοῖς κίοσιν ἀντιπρόσωποι ἐδοῦντο, οὐ βεβηκόσι τοῖς ποσί, τῷ δὲ βάρει τοῦ σώματος βιαζομένων μετὰ τάσεως ἀνελκομένων τῶν δεσμῶν. καὶ τοῦθ' ὑπέμενον, οὐκ ἐφ' ὅσον προσδιελέγετο, οὐδ' αὐτοῖς ἐσχόλαζεν ὁ ἡγεμών, ἀλλὰ μονονουχὶ δι' ὅλης τῆς ἡμέρας. ὅτε γὰρ καὶ ἐφ' C ἑτέρους μετέβαινε, τοῖς προτέροις κατελίμπανεν ἐφεδρεύειν τοὺς τῇ ἐξουσίᾳ αὐτοῦ ὑπηρετουμένους. εἴ πού τις ἡττηθεὶς τῶν βασάνων ἐνδιδόναι ἐδόκει. ἀφειδῶς δὲ κελεύων καὶ τοῖς δεσμοῖς προσιέναι, καὶ μετὰ ταῦτα ψυχορραγοῦντας αὐτοὺς καταπιθεμένους εἰς τὴν γῆν ἕλκειν. οὐ γὰρ εἶναι κἂν μέρος αὐτοῖς φροντίδος περὶ ἡμῶν. ἀλλ' οὕτω καὶ διανοεῖσθαι καὶ πράττειν, ὡς μηκέτ' ὄντων. ταύτην δευτέραν βάσανον ἐπὶ ταῖς πληγαῖς τῶν ὑπεναντίων ἐφευρόντων. ἦσαν δὲ οἳ καὶ μετὰ τοὺς αἰ- D κισμοὺς ἐπὶ τοῦ ξύλου κείμενοι διὰ τῶν τεσσάρων ὀπῶν διατεταμένοι ἄμφω τὼ πόδε, ὡς καὶ κατ' ἀνάγκην αὐτοὺς ἐπὶ τοῦ ξύλου ὑπτίους εἶναι, μὴ δυναμένους διὰ τὸ ἕναυλα τὰ τραύματα ἀπὸ τῶν πληγῶν καθ' ὅλου τοῦ σώματος ἔχειν. ἕτεροι δὲ εἰς τοὔδαφος ῥιφέντες, ἔκειντο ὑπὸ τῆς τῶν βασάνων ἀθρόας προσβολῆς, δεινοτέραν τὴν ὄψιν τῆς ἐνεργείας τοῖς ὁρῶσι παρέχοντες, ποικίλας καὶ διαφόρους ἐν τοῖς σώμασι φέροντες τῶν βασάνων τὰς ἐπινοίας. τούτων οὕτως ἐχόντων, οἱ μὲν ἐναπέθνησκον ταῖς βασάνοις, τῇ καρτερίᾳ καταισχύναντες τὸν ἀντί-

A fracti sunt animo, eo quod perfecta caritas foras ejiciebat timorem. *Ioan. 4.* Quorum virtutem & in singulis tormentis fortitudinem, quæ tandem oratio possit percensere? Nam cum eos injuria afficere cuivis liceret, alii fustibus, alii virgis, alii flagris eos verberabant; quidam loris; nonnulli etiam funibus cædebant. Eratque hujusmodi cruciatuum spectaculum varium & multiplex plenumque malitiæ. Quidam enim illorum manibus post tergum revinctis ad stipitem suspendebantur: ac deinde universa corporis membra machinis quibusdam distendebantur. Posthæc tortores jussu Judicis universo corpori; B neque ut homicidis solet, lateribus duntaxat: sed etiam ventri, cruribus, ac genis cruciatus ferreis ungulis adhibebant. Quidam altera manu ad porticum suspensi pendebant; quibus articulorum membrorumque omnium distensio quovis cruciatu erat acerbior. Alii vultibus in se mutuo conversis ad columnas alligabantur, pedibus solum non contingentibus; adeo ut vincula gravitate corporum adacta, acrius intenderentur. Atque id tolerabant non solùm quamdiu Præses eos alloquebatur, aut audiendis ipsis vacabat; sed toto propemodum die. C Nam ubi ad alios audiendos transierat, ministros officii sui relinquebat, qui prioribus imminerent; si forte quis tormentorum acerbitate victus à proposito desciscere videretur. Jubebatque eos absque ulla miseratione vinculis stringi, & postea cum jam animam exhalarent, humi abjectos trahi. Neque enim ajebat vel minimam nostri curam habendam esse: sed cunctos sic de nobis sentire, sic erga nos agere debere, quasi non amplius homines essemus. Hunc scilicet secundum cruciatum post verbera inimici D nostri excogitaverant. Quidam etiam post tormenta in nervo jacuerunt; pedibus ad quatuor usque foramina divaricatis; ita ut supini esse cogerentur, cum ob recentes plagarum cicatrices quas toto corpore gerebant, stare omninò non possent. Alii humi projecti jacebant præ nimia tormentorum acerbitate; & multò gravius quàm dum cruciarentur spectaculum intuentibus præbebant, varia ac multiplicia tormentorum excogitata genera corporibus suis circumferentes. Quæ cum ita gererentur, alii in ipsis tormentis exspirabant, constantiâ suâ pudorem incutientes ad-

versario. Alii semineces in carcerem trusi, paucis post diebus doloribus oppressi vitam finierunt. Reliqui curantium remediis refocillati, tempore ipso ac diuturna carceris mora fidentiores evasere. Itaque cum postea juberentur eligere utrum mallent, an contactis nefariis sacrificiis omni molestia liberari, & abominandæ absolutionis sententiam ab ipsis consequi; an verò sacrificare abnuentes capite damnari: omnes nihil cunctati, libenti animo ad mortem perrexerunt. Quippe probè norant quæ in sacris literis nobis præscripta sunt. Qui enim sacrificat Diis alienis, ait Scriptura, exterminabitur. Et iterum: Non habebis Deos alienos præter me. Hæc sunt verè Philosophi nec minus Dei quàm sapientiæ amatoris martyris verba, quæ ante extremam judicis sententiam, adhuc in custodia constitutus ad fratres Ecclesiæ suæ scripsit; partim quo in statu versaretur exponens; partim eos adhortans, ut pietatem in Christum etiam post obitum suum jamjam imminentem, mordicùs retinerent. Sed quid opus est prolixa oratione uti, & divinorum qui per universum orbem passi sunt martyrum nova semper novis succedentia certamina exponere? præsertim cum illi non vulgari modo, sed quasi jure belli oppugnati sint.

A παλον· οἱ δὲ ἡμιθνῆτες ἐν τῷ δεσμωτηρίῳ
κλειόμενοι, μετ᾽ οὐ πολλὰς ἡμέρας ταῖς ἀ
δόσι συνεχόμενοι ἐτελεύτων. οἱ δὲ λοιποὶ
τῆς θεραπείας ἀνακλήσεως τυχόντες, τῷ
νῳ καὶ τῇ τῆς φυλακῆς διατριβῇ, θαρσα
τεροι ἐγίνοντο. οὕτω γοῦν ἡνίκα προεστετο
αἱρέσεως κειμένης ἢ ἐφαψάμενον τῆς
γοῦς θυσίας ἀνενόχλητον εἶναι, τῆς ἐ
λευθερίας παρ᾽ αὐτῶν τυχόντα. ἢ μὴ θύ
τὴν ἐπὶ θανάτῳ δίκην ἐκδέχεσθαι. οὐδὲν μ
σαντες, ἀσμένως ἐπὶ τὸν θάνατον ἐχώρει
B σαν γὰρ τὰ ὑπὸ τῶν ἱερῶν γραφῶν ἡμῖν
ειρημένα. ὁ γὰρ θυσιάζων φησὶ θεοῖς ἑτέ
ἐξολοθρευθήσεται καὶ ὅτι οὐκ ἔσονταί σοι
ἕτεροι πλὴν ἐμοῦ. τοιαῦται τοῦ ὡς ἀληθῶς
λοσόφου τε ὁμοῦ καὶ φιλοθέου μάρτυρος
φωναὶ ἃς πρὸ τελευταίας ἀποφάσεως
τὴν δεσμωτικὴν ἔτι ὑπάρχων τάξιν, τ
τὴν αὐτοῦ παροικίαν ἀδελφοῖς ἐπεσ
ἅμα μὲν ἐν οἷς ἦν ἀνατιθέμενος. ἅμα δ
παρορμῶν αὐτοὺς ἐπὶ τὸ ἀπρὶξ ἔχεσθαι καὶ
αὐτὸν ὅσον οὔπω τελειωθησόμενον, τῆς ἐν Χρ
C θεοσεβείας. ἀλλὰ τί χρὴ πολλὰ λέγειν, κ
νοτέρας ἐπὶ καινοτέραις τῶν ἀνὰ τὴν οἰκ
νην θεοπρεπῶν μαρτύρων ἀθλήσεις προσ
θαι; καὶ μάλιστα τῶν οὐκέτι μὲν κοινῷ ν
πολέμου δὲ τρόπῳ πεπολιορκημένων.

---

## Caput XI.

*De iis quæ in Phrygia gesta sunt.*

Huc refer Niceph. l. 7. c. 10.

Certè urbem quandam Christianorum in Phrygia, milites armati obsidione cinxerunt; injectóque igne totam unà cum viris & mulieribus ac parvulis Christum omnium Deum invocantibus concremârunt. Hanc scilicet ob causam, quòd universi ejus urbis incolæ & Curator ipse ac Magistratus cum honoratis omnibus ac plebejis, Christianos se esse professi, sacrificare jubentibus nullo modo obtemperabant. Quidam etiam Adauctus nomine, claro in Italia genere ortus; Romana dignitate conspicuus, & per omnes honorum gradus in Imperatorum palatio provectus; quippe qui procurationem summæ rei, & Magistri ut vocant, ac Rationalis officium integerrimè gessisset: Præter hæc omnia multis

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν κατὰ Φρυγίαν.

Ἤδη γοῦν ὅλην χριστιανῶν πολίχνην
αὐτανδρον ἀμφὶ τὴν Φρυγίαν ἐν κύ
περιβαλόντες ὁπλῖται, πῦρ τε ὑφάψαντ
D κατέφλεξαν αὐτοὺς ἅμα νηπίοις καὶ γυναι
τὸν ἐπὶ πάντων Θεὸν Χριστὸν ἐπιβοωμένο
δὴ πανδημεὶ πάντες οἱ τὴν πόλιν οἰκοῦντε
γιστής τε αὐτὸς καὶ στρατηγὸς σὺν τοῖς ἐν
λει πᾶσι καὶ ὅλῳ δήμῳ, χριστιανοὺς σφᾶς ὁ
λογοῦντες, οὐδ᾽ ὁπωσοῦν τοῖς προστάττουσι
δωλολατρεῖν ἐπειθάρχουν. καί τις ἕτερ
Ῥωμαικῆς ἀξίας ἐπειλημμένος, Ἀδαύ
ὄνομα. γένος τῶν παρ᾽ Ἰταλοῖς ἐπισήμων
πάσης διελθὼν ἀνὴρ τῆς παρὰ βασιλεῦσι τ
μῆς, ὡς καὶ τὰς καθόλου διοικήσεις τῆς π
αὐτοῖς καλουμένης μαγιστρότητός τε καὶ κ
θολικότητος ἀμέμπτως διελθεῖν. ἐπὶ πᾶσι
τοις διαπρέψας τοῖς ἐν θεοσεβείᾳ κατορθώ
μασ

μασὴ καὶ ταῖς εἰς τὸν Χριστὸν τοῦ Θεοῦ ὁμολογίαις, τῷ τοῦ μαρτυρίου διαδήματι κατεκοσμήθη, ἐπ' αὐτῆς τῆς τοῦ καθολικοῦ πράξεως τὸν ὑπὲρ εὐσεβείας ὑπομείνας ἀγῶνα.

A præclaris actibus inter fideles, & nominis Christi confessionibus nobilitatus: dum adhuc Rationalis officium administraret, pro vera pietate decertans martyrii coronâ exornatus est.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

*Περὶ πλείστων ἑτέρων ἀνδρῶν τε καὶ γυναικῶν διαφόρως ἠγωνισμένων.*

ΤΙ' με χρὴ νῦν ἐπ' ὀνόματος τῶν λοιπῶν μνημονεύειν, ἢ τὸ πλῆθος τῶν ἀνδρῶν ἀριθμεῖν, ἢ τὰς πολυτρόπους αἰκίας ἀναζωγραφεῖν τῶν θαυμασίων Χριστοῦ μαρτύρων. τοτὲ μὲν πελέκεσιν ἀναιρουμένων, οἷα γέγονε τοῖς ἐπ' Ἀραβίας. τοτὲ δὲ τὰ σκέλη καταγνυμένων, οἷα τοῖς ἐν Καππαδοκίᾳ συμβέβηκε· καὶ ποτὲ μὲν κατὰ κεφαλῆς ἐκ τοῖν ποδοῖν εἰς ὕψος ἀναρτωμένων. καὶ μαλθακοῦ πυρὸς ὑποκαιομένου, τῷ παραπεμπομένῳ καπνῷ τῆς φλεγομένης ὕλης ἀποπνιγομένων, οἷα τοῖς ἐν μέσῃ τῶν ποταμῶν ἐπηνέχθη. ποτὲ δὲ ῥῖνας καὶ ὦτα καὶ χεῖρας ἀκρωτηριαζομένων, τά τε λοιπὰ τοῦ σώματος μέλη τε καὶ μέρη κρεουργουμένων. οἷα τὰ ἐπ' Ἀλεξανδρείας ἦν. τί δεῖ τῶν ἐπ' Ἀντιοχείας ἀναζωπυρεῖν τὴν μνήμην, ἐσχάραις πυρὸς οὐκ εἰς θάνατον, ἀλλ' ἐπὶ μακρᾷ τιμωρίᾳ κατοπτωμένων. ἑτέρων τε θᾶττον τὴν δεξιὰν αὐτῶν πυρὶ καθιέντων, ἢ τῆς ἐναγοῦς θυσίας ἐφαπτομένων· ὧν τινὲς τὴν πεῖραν φεύγοντες, πρὶν ἁλῶναι καὶ εἰς χεῖρας τῶν ἐπιβούλων ἐλθεῖν, ἄνωθεν ἐξ ὑψηλῶν δωμάτων ἑαυτοὺς κατεκρήμνισαν, τὸν θάνατον ἅρπαγμα θέμενοι τῆς τῶν δυσσεβῶν μοχθηρίας· καί τις ἱερὰ καὶ θαυμασία τὴν τῆς ψυχῆς ἀρετήν, τὸ δὲ σῶμα γυνὴ καὶ τὰ ἄλλα τῶν ἐπ' Ἀντιοχείας πλούτῳ καὶ γένει καὶ εὐδοξίᾳ παρὰ πᾶσι βεβοημένη, παίδων ξυνωρίδα παρθένων τῇ τοῦ σώματος ὥρᾳ καὶ ἀκμῇ διαπρεπουσῶν, θεσμοῖς εὐσεβείας ἀναθρεψαμένη. ἐπειδὴ πολὺς ὁ περὶ αὐτὰς κινούμενος φθόνος, πάντα τρόπον ἀνιχνεύων λανθανούσας περιειργάζετο. εἶτα ἐπ' ἀλλοδαπῆς αὐτὰς διατρίβειν μαθών, πεφροντισμένως ἐπὶ τὴν Ἀντιόχειαν ἐκάλει. δικτύων δὲ ἤδη στρατιωτικῶν εἴσω περιεβέβλητο, ἐν ἀμηχάνοις αὑτὴν καὶ παῖδας θεασαμένη, καὶ τὰ μέλλοντα ἐξ ἀνθρώπων δεινὰ τῷ λόγῳ παραθεῖσα, τό, τε πάντων δεινῶν ἀφορητότερον πορνείας ἀπειλὴν μηδὲ ἀκοαῖς ὠσὶν ὑπομεῖναι δεῖν

## Caput XII.

*De pluribus viris & mulieribus, qui diverso martyrii genere occubuerunt.*

QUid nunc opus est reliquos nominatim commemorare, aut Huc refer Niceph. l. 7. c. 11. B multitudinem hominum recensere, aut varias tormentorum species orationis penicillo depingere? Quippe cum admirandi martyres, partim securibus cæsi sint ut in Arabia contigit: partim suffractis cruribus interierint, quemadmodum accidit in Cappadocia; Nonnulli capite deorsum verso pedibus suspensi, leni ac remisso igne subtus accenso, flagrantis materiæ fumo suffocati sint, ut in Mesopotamia factum est: alii naso, auribus, ac manibus truncati, ceterisque corporis membris mutilati sint atque concisi, ut contigit Alexandriæ. Jam C verò ea quæ apud Antiochiam gesta sunt, quid opus est in memoriam revocare? ubi alii craticulis impositi, non ad mortem usque, sed ad diuturnitatem supplicii torrebantur. Alii dextras suas in ignem immittere maluerunt, quàm impia libamenta contingere. Ex quibus nonnulli periculum vitantes, priusquam caperentur, & in insidiatorum manus inciderent, ex sublimibus tabulatis præcipites se dederunt; propter impiorum malitiam mortem lucro deputantes. Quædam etiam sanctissima femina & ob animi fortitudinem admirabilis; opi- D bus ac splendore generis, bonâque inprimis famâ Antiochiæ percelebris, quæ duas filias virgines corporis formâ & ætatis flore præstantes Christianæ religionis præceptis instituerat: cùm plurimi stimulante ipsos invidiâ earum latebras curiosius investigarent; deinde comperto eas apud exteros degere, omni studio atque opera Antiochiam eas evocassent; postquàm mulier sese ac filias in militum laqueos incidisse sensit, ad inopiam consilii redacta, filias allocuta est. Et quanta ipsis mala à militibus imminerent exposuit: omnium verò malorum gravissimum ac maximè intolerabile esse stuprum, cujus

minas ne auditu quidem sustinere sibi ipsi ac filiabus fas esset. Adhæc animam servituti & obsequio dæmonum mancipare, omni morte exitioque pejus esse cum dixisset, unicum adversus hæc omnia remedium esse admonuit, si ad opem Christi confugerent. His dictis, idem omnes consilium amplexæ; cum ad medium itineris pervenissent, veniam à militibus petunt ut tantisper de via deflectere sibi liceret. Quo impetrato, compositis honestè ac decenter vestibus, in præfluentem se fluvium conjecerunt. Et hæ quidem semetipsas ita submerserunt. Duæ verò aliæ virgines in eadem urbe divinæ prorsus ac germanæ per omnia sorores; splendore quidem natalium, opibus, ætate & forma florentes; sed gravitate morum, mentis pietate, studioque & industria clariores: perinde ac si terra tantum decus ferre non posset, à cultoribus dæmonum jussæ sunt in mare præcipitari. Hæc Antiochiæ. Sed quæ apud Pontum gesta sunt, vel ipso dictu incutiunt horrorem. Aliis manuum digiti à summis usque unguibus, acutis arundinibus transfigebantur. Aliis plumbo ignis vi liquefacto, bulliente ac fervente metallo terga adurebantur, & corporis partes maximè necessariæ torrebantur. Quidam in visceribus ac pudendis partibus fœdos atque inexplicabiles cruciatus absque ulla miseratione pertulerunt, prout scilicet generosi illi & æqui judices solertiam suam ostentantes, quasi hoc virtutis alicujus ac prudentiæ esset, ambitiosius excogitabant; novis quotidie suppliciorum inventis, tanquam in certamine quodam in quo proposita sunt præmia, superare se invicem contendentes. Ceterùm hæ calamitates non prius finem acceperunt, quàm Judices tot ærumnis quidquam adjicere posse desperantes, jamque cædibus fessi, cum ipsos sanguinis satietas ac tædium cœpisset, ad speciosam illam, ut quidem putabant, clementiam atque humanitatem se converterunt, ut inposterum nulla adversum nos uti sævitia viderentur. Neq; enim fas esse ajebant, ut urbes quidem civium sanguine contaminarentur; Imperatores autem ipsi erga omnes benigni ac mansueti crudelitatis aspergerentur infamiâ: sed potius decere, ut humanitas & beneficentia Imperatoriæ

A ἀκοῦσαι, ἑαυτῇ τε καὶ ταῖς κόραις παρακελευ-
σαμένη. ἀλλὰ καὶ τὸ παραδοῦναι τὰς ψυχ-
τῇ τῶν δαιμόνων δουλείᾳ, πάντων ὑπάρ-
θανάτων καὶ πάσης χεῖρον ἀπωλείας φή-
σα. μίαν τούτων ἁπάντων εἶναι λύσιν ὑπετί-
τὴν ἐπὶ τὸν Κύριον καταφυγήν. κἄπειτα
τῇ γνώμῃ συνθέμεναι, τά τε σώματα περι-
λασαι κοσμίως τοῖς περιβλήμασιν. ἐπ᾽ αὐ-
μέσης γενόμεναι τῆς ὁδοῦ, βραχύ τι τοὺς φύ-
λακας εἰς ἀναχώρησιν ὑπαραιτησάμε-
ἐπὶ παραρρέοντα ποταμὸν ἑαυτὰς ἠκόντισ-
B αἱ δὲ μὲν οὖν ἑαυτάς· ἄλλην δ᾽ ἐπ᾽ αὐτῆς
Ἀντιοχείας ξυνωρίδα παρθένων τὰ πάντα θεο-
πρεπῶν καὶ ἀληθῶς ἀδελφῶν, ἐπιδόξων
τὸ γένος. λαμπρῶν δὲ τὸν βίον. νέων τὰς ἡλικί-
ας. ὡραίων τὸ σῶμα. σεμνῶν τὴν ψυχήν.
εὐσεβῶν τὸν τρόπον. θαυμαστῶν τὴν σπουδὴν
ἂν μὴ φερούσης τῆς γῆς τὰ τοιαῦτα βαστά-
θαλάττῃ ῥίπτειν ἐκέλευον οἱ τῶν δαιμόνων
θεραπευταί. ταῦτα μὲν οὖν παρὰ τοῖσδε.
φρικτὰ δ᾽ ἀκοαῖς κατὰ τὸν Πόντον ἔπασχον ἕτε-
καλάμοις ὀξέσι ταῖν χεροῖν ἐξ ἄκρων ὀνύ-
C τοὺς δακτύλους διαπειρόμενοι. καὶ ἄλλοι τοῦ
μολίβδου διατακέντος, βραστούσῃ καὶ πεπυρω-
μένῃ τῇ ὕλῃ τὰ νῶτα καταχεόμενοι, καὶ
μάλιστα ἀναγκαιότατα τοῦ σώματος καιό-
μενοι. διά τε τῶν ἀπορρήτων ἕτεροι μελῶν
καὶ σπλάγχνων, αἰσχρὰς καὶ ἀσυμπαθεῖς
οὐδὲ λόγῳ ῥητὰς ὑπέμενον πάθας· ἃς οἱ γεν-
ναῖοι καὶ νόμιμοι δικασταὶ τὴν σφῶν ἐπιδεικ-
νύμενοι δεινότητα, ὥσπερ ἵνα σοφίας ἀρε-
φιλοτιμότερον ἐπενόουν. ἀεὶ ταῖς καινοτ-
ἐφευρισκομέναις αἰκίαις, ὡσπερεὶ ἐν ἀγῶ-
βραβείοις, ἀλλήλους ὑπερεξάγειν διαμ-
D λώμενοι. τὰ δ᾽ οὖν τῶν συμφορῶν ἔσχατα
δὴ λοιπὸν ἀπειρηκότες ἐπὶ τῇ τῶν κακῶν ὑπερ-
βολῇ καὶ περὶ τὸ κτείνειν ἀποκαμόντες, πλη-
μονήν τε καὶ κόρον τῶν αἱμάτων ἐκχεῖν
ἐσχηκότες, ἐπὶ τὸ νομιζόμενον αὐτοῖς χρη-
φιλάνθρωπον ἐτρέποντο, ὡς μηδὲν μὲν ἔτι
κεῖν δεινὸν καθ᾽ ἡμῶν περιεργάζεσθαι μὴ γὰρ
θήκειν φασὶν ἐμφυλίοις αἵμασι μιαίνειν τὰς
πόλεις, μὴ δ᾽ ἐπ᾽ ὠμότητι τῇ ἀνωτάτω δια-
βάλλειν τὴν τῶν κρατούντων ἀρχήν, εὐμε-
τοῖς πᾶσιν ὑπάρχουσαν καὶ πρᾳεῖαν. δεῖ
δὲ μᾶλλον τῆς φιλανθρώπου καὶ βασιλικῆς
ἐξουσίας εἰς πάντας ἐκτείνεσθαι τὴν εὐερ-

γεῖσθαι, μηκέτι θανάτῳ κολαζομένους· λελύσθαι γὰρ καθ' ἡμῶν ταύτην αὐτῶν τὴν τιμωρίαν, διὰ τὴν τῶν κρατούντων φιλανθρωπίαν. τηνικαῦτα ὀφθαλμοὺς ἐξορύττεσθαι, καὶ τοῖν σκελοῖν πηροῦσθαι θάτερον προσετάττετο. ταῦτα γὰρ ἦν αὐτοῖς τὰ φιλάνθρωπα, καὶ τῶν καθ' ἡμῶν τιμωριῶν τὰ κουφότατα. ὥστε ἤδη ταύτης ἕνεκα τῆς τῶν ἀσεβῶν φιλανθρωπίας, οὐκέτ' εἶναι δυνατὸν ἐξειπεῖν τὸ πλῆθος τῶν ὑπὲρ πάντα λόγον, τοὺς μὲν δεξιοὺς ὀφθαλμοὺς ξίφει πρότερον ἐκκοπτομένων, καὶ μετὰ τὴν ἐκκένωσιν τούτους πυρὶ καυτηριαζομένων. τοὺς δὲ λαιοὺς πόδας κατὰ τῶν ἀγκυλῶν αὖθις καυτῆρσιν ἀχρειουμένων. μετά τε ταῦτα τοῖς κατ' ἐπαρχίαν χαλκοῦ μετάλλοις οὐχ ὑπηρεσίας τοσοῦτον, ὅσον κακώσεως καὶ ταλαιπωρίας ἕνεκεν καταδικαζομένων. πρὸς ἅπασί τε τούτοις ἄλλων ἄλλοις ἀγῶσιν, οὓς μηδὲ καταλέγειν δυνατόν. νικᾷ γὰρ πάντα λόγον τὰ κατ' αὐτοὺς ἀνδραγαθήματα, περιπεπτωκότων. ἐν δὴ τούτοις ἐφ' ὅλης τῆς οἰκουμένης διαλάμψαντες οἱ μεγαλοπρεπεῖς τοῦ Χριστοῦ μάρτυρες, τοὺς μὲν ἁπανταχοῦ τῆς ἀνδρείας αὐτῶν ἐπόπτας εἰκότως κατεπλήξαντο. τῆς δὲ τοῦ Σωτῆρος ἡμῶν θείας ὡς ἀληθῶς καὶ ἀπορρήτου δυνάμεως ἐμφανῆ δι' ἑαυτῶν τὰ τεκμήρια παρεστήσαντο. ἑκάστου μὲν οὖν ἐπ' ὀνόματος μνημονεύειν, μακρὸν ἂν εἴη, μήπη γε τῶν ἀδυνάτων.

A Majestatis in universos diffunderetur, nec posthac nostri capitali supplicio plecterentur. Quippe hujusmodi pœnâ per Imperatorum indulgentiam liberatos nos esse. Exinde igitur oculos nostris erui, & alterum ex cruribus debilitari præceptum est. Hujusmodi enim fuit illorum humanitas; hoc lenissimum supplicii genus adversus nos visum. Adeò ut propter hanc impiorum hominum lenitatem, nullo jam modo recenseri possit numerus, tum eorum quibus oculi dextri primùm quidem ferro effossi, deinde verò cauterio adB usti sunt: tum illorum quibus sinistri poplites candente ferro sunt debilitati, & qui postea ad æris metalla quæ in provincia erant, non tam operis faciendi quàm vexationis causâ condemnabantur: aliorum denique qui varia viritim singuli certamina subierunt. Quæ quidem nos nec enumerare sufficimus, quippe cum præclara illorum facinora omnem dicendi copiam superent. In his ergo certaminum discriminibus, per universum orbem maximam gloriam adepti nobilissimi martyres, & cunctos C spectatores admiratione fortitudinis suæ meritò perculerunt: & divinæ prorsus atque inexplicabilis Servatoris nostri potentiæ evidentissima in semetipsis exhibuerint indicia. Ac singulos quidem nominatim commemorare longum ac difficile fuerit, ne dicam prorsus inexplicabile.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν τῆς ἐκκλησίας προέδρων, τῶν τὸ γνήσιον ἧς ἐπρέσβευον εὐσεβείας, διὰ τοῦ σφῶν αἵματος ἀποδεδειγμένων.

Τῶν δὲ κατὰ τὰς ἐπισήμους πόλεις μαρτυρησάντων ἐκκλησιαστικῶν ἀρχόντων, πρῶτος ἡμῖν ἐν εὐσεβῶν στήλαις τῆς Χριστοῦ βασιλείας ἀναγορευέσθω μάρτυς, Ἐπίσκοπος τῆς Νικομηδέων πόλεως τὴν κεφαλὴν ἀποτμηθεὶς Ἄνθιμος. τῶν δ' ἐπ' Ἀντιοχείας μαρτύρων τὸν πάντα βίον ἄριστος πρεσβύτερος τῆς αὐτόθι παροικίας Λουκιανός. ἐν τῇ Νικομηδείᾳ καὶ αὐτὸς βασιλέως ἐπιπαρόντος, τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν λόγῳ πρότερον δι' ἀπολογίας. εἶτα δὲ καὶ ἔργοις ἀνακηρύξας. τῶν δ' ἐπὶ Φοινίκης μαρτύρων γένοιντ' ἂν ἐπισημότατοι τὰ πάντα Θεοφιλεῖς τῶν λογικῶν Χριστοῦ θρεμμάτων ποιμένες, Τυραννίων Ἐπίσκοπος τῆς κατὰ Τύρον ἐκκλησίας. πρεσβύτερός τε τῆς κατὰ

## Caput XIII.

*De Præsidibus Ecclesiarum, qui religionis quam prædicabant, sinceritatem fuso sanguine declararunt.*

Ex Præsidibus autem Ecclesiarum qui in celeberrimis urbibus martyrium perpessi sunt, primus in piorum D tabulis à nobis nominetur Anthimus Nicomediensis Episcopus, testis Regni Jesu Christi, in eadem urbe capite truncatus. Ex Antiochenis verò martyribus Lucianus ejusdem Ecclesiæ Presbyter; vir in omni vita sanctissimus. Qui cæleste Christi Regnum primùm verbis & oratione Apologetica Nicomediæ præsente ipso Imperatore; posteà verò etiam rebus ipsis asseruit. Jam verò omnium in Phœnice martyrum nobilissimi Deoque accepti martyres, Christiani gregis Pastores fuere, Tyrannio Ecclesiæ Tyriorum Episcopus, & Zenobius Presbyter apud

Huc refer Niceph. l. 7. c. 16.

Sidonem: Silvanus quoque Emisenæ Antistes Ecclesiæ. Sed hic quidem in ipsa urbe Emesa feris objectus unà cum aliis quibusdam, in martyrum relatus est numerum. Illi verò Antiochiæ, doctrinam veræ fidei constantissimâ in perferendis ad mortem usque tormentis patientia ambo illustrarunt: Tyrannio quidem in profundum mare demersus: Zenobius verò Medicorum omnium prestantissimus, dum ungulis latera ipsi sulcarentur, in mediis cruciatibus forti animo immortuus. Inter martyres autem Palæstinæ, Silvanus Gazæ urbis Episcopus apud æris metalla quæ sunt in Phæno, cum aliis undequadraginta capite truncatus est. Sed & quidam Ægyptii Sacerdotes Peleus ac Nilus cum aliquot aliis illic flammis absumpti periere. Horum in numero maximum decus Cæsariensis Ecclesiæ Pamphilus Presbyter, à nobis haudquaquam prætereundus est; vir omnium nostræ ætatis maximè admiratione dignus. Cujus quidem fortitudinem & gloriosa facinora suo tempore exposuimus. Ex iis porrò qui Alexandriæ & per totam Ægyptum ac Thebaïdem nobili martyrio perfuncti sunt, primus omnium nominandus est Petrus Alexandrinæ Ecclesiæ Episcopus, Christianæ religionis Doctor eximius. Et inter ejus Presbyteros Faustus, Dius atque Ammonius perfecti martyres Christi. Præterea Phileas & Hesychius, Pachumius ac Theodorus diversarum in Ægypto Ecclesiarum Episcopi. Sexcenti denique alii minimè obscuri, qui per Ecclesias in illis locis ac regionibus constitutas, multis laudibus celebrantur. Quorum omnium pro vero Dei cultu toto orbe confecta certamina, & quæ singulis eorum acciderunt, omnia accuratè commemorare, non est officii nostri; sed eorum potius qui res gestas oculis suis contemplati sunt. Nos verò ea quibus ipsi interfuimus, alio in opere posterorum notitiæ commendabimus. In præsenti autem libro palinodiam eorum quæ contra nos gesta sunt, & ea quæ in ipso persecutionis exordio contigerunt, supradictis adjungam: quippe quæ maximam utilitatem allatura sint lectoribus. Igitur antequam bellum nobis indictum esset: quandiu Imperatores placido ac benevolo erga nos animo fuerunt, quanta copia omnium bonorum quantaque felicitate abundaverit Impe-

A Σιδῶνα ζηνόβιος. καὶ ἔτι Σιλβανὸς τῶν ἀμφὶ
τὴν Ἔμισαν Ἐκκλησιῶν Ἐπίσκοπος. ἀλλ᾽ ὁ
μὲν θηρίων βορὰ μεθ᾽ ἑτέρων ἐπ᾽ αὐτῆς Ἐμέ-
σης γενόμενος, χοροῖς ἀνελήφθη μαρτύρων.
τῶν δ᾽ ἐπ᾽ Ἀντιοχείας, ἄμφω τὸν τοῦ Θεοῦ λό-
γον διὰ τῆς εἰς θάνατον ὑπομονῆς ἐδοξάσα-
την. ὁ μὲν θαλαττίοις παραδοθεὶς βυθοῖς Ἐ-
πίσκοπος. ὁ δὲ ἰατρῶν ἄριστος Ζηνόβιος, ταῖς
κατὰ τῶν πλευρῶν ἐπιτεθείσαις αὐτοῦ καρτερῶς
ἐναποθανὼν βασάνοις. τῶν δ᾽ ἐπὶ Παλαιστί-
νης μαρτύρων, Σιλβανὸς Ἐπίσκοπος τῶν ἀμ-
φὶ τὴν Γάζαν ἐκκλησιῶν. κατὰ τὰ ἐν Φαινῷ
B χαλκοῦ μέταλλα σὺν ἑτέροις ἑνὸς δέουσι τὸν
ἀριθμὸν τεσσαράκοντα, τὴν κεφαλὴν ἀποτέ-
μνεται. Αἰγύπτιοί τε αὐτόθι Πηλεὺς καὶ Νεῖλος
Ἐπίσκοποι, μεθ᾽ ἑτέρων τὴν διὰ πυρὸς ὑπο-
μείναντες τελευτήν. καὶ τὸ μέγα δὲ κλέος τῆς Και-
σαρέων παροικίας ἐν τούτοις ἡμῖν μνημονευέ-
σθω Πάμφιλος πρεσβύτερος, τῶν καθ᾽ ἡμᾶς
θαυμασιώτατος. οὗ τῶν ἀνδραγαθημάτων
τὴν ἀρετὴν, κατὰ τὸν δέοντα καιρὸν ἀνεγραψά-
μεθα. τῶν δ᾽ ἐπ᾽ Ἀλεξανδρείας καθ᾽ ὅλης τε Αἰ-
γύπτου καὶ Θηβαΐδος διαπρεπῶς τελειωθέντων
C πρῶτος Πέτρος αὐτῆς Ἀλεξανδρείας Ἐπί-
σκοπος. θεῖόν τι χρῆμα διδασκάλων τῆς ἐν
Χριστῷ θεοσεβείας ἀναγεγράφθω. καὶ τῶν σὺν
αὐτῷ πρεσβυτέρων, Φαῦστος καὶ Δῖος καὶ Ἀμμώ-
νιος, τέλειοι Χριστοῦ μάρτυρες. Φιλέας τε καὶ Ἡ-
σύχιος καὶ Παχύμιος, καὶ Θεόδωρος, τῶν ἀμ-
φὶ τὴν Αἴγυπτον ἐκκλησιῶν Ἐπίσκοποι. μυρί-
οι τε ἐπὶ τούτοις ἄλλοι διαφανεῖς, οἳ πρὸς τὴν
κατὰ χώραν καὶ τόπον παροικιῶν μνημονεύον-
ται. ὧν ἀνὰ τὴν πᾶσαν οἰκουμένην ὑπὲρ τῆς εἰς
τὸ θεῖον εὐσεβείας ἠγωνισμένων, γραφῇ πα-
D ραδιδόναι τοὺς ἄθλους, ἐπ᾽ ἀκριβές τε ἑκάστου
τῶν περὶ αὐτοὺς συμβεβηκότων ἱστορεῖν, οὐχ ἡ-
μέτερον. τῶν δ᾽ ὄψει τὰ πράγματα παρει-
ληφότων ἴδιον ἂν γένοιτο. οἷς γε μὴν αὐτὸς πα-
ρεγενόμην, τούτους καὶ τοῖς μεθ᾽ ἡμᾶς γνωρί-
μους δι᾽ ἑτέρας ποιήσομαι γραφῆς. κατά γε
μὴν τὸν παρόντα λόγον, τὴν παλινῳδίαν τῶν
περὶ ἡμᾶς εἰργασμένων, τοῖς εἰρημένοις ἐπι-
συνάψω, τά τε ἐξ ἀρχῆς τοῦ διωγμοῦ συμβε-
βηκότα, χρησιμώτατα τυγχάνοντα τοῖς ἐντευ-
ξομένοις. τὰ μὲν οὖν πρὸ τοῦ καθ᾽ ἡμῶν πο-
λέμου τῆς Ῥωμαίων ἡγεμονίας, ἐν ὅσοις δὴ χρό-
νοις τὰ τῶν ἀρχόντων φίλιά τε ἡμῖν ἦν καὶ

εἰρηνικά, ὁπόσης ἀγαθῶν εὐπορίας καὶ εὐετηρίας ἠξιοῦτο, τίς ἂν ἐξαρκέσειε λόγος διηγήσασθαι; ὁπότε καὶ οἱ μάλιστα τῆς καθόλου κρατοῦντες ἀρχῆς, δεκαετηρίδας καὶ εἰκοσαετηρίδας τῆς βασιλείας ἐκπλήσαντες, ἐν ἑορταῖς καὶ πανηγύρεσι, φαιδροτάταις τε θαλίαις καὶ εὐφροσύναις, μετὰ πάσης εὐσταθοῦς διετέλουν εἰρήνης. οὕτω δ' αὐτοῖς ἀπαραποδίστως αὐξούσης καὶ ἐπὶ μέγα ὁσημέραι προϊούσης τῆς ἐξουσίας, ἀθρόως τῆς πρὸς ἡμᾶς εἰρήνης μεταθέμενοι, πόλεμον ἄσπονδον ἐγείρουσιν. οὔπω δ' αὐτοῖς τῆς τοιᾶσδε κινήσεως δεύτερον ἔτος πεπλήρωτο, καὶ περὶ τὴν ὅλην ἀρχὴν νεώτερόν τι γεγονὸς, τὰ πάντα πράγματα ἀνατρέπει. νόσου γὰρ οὐκ αἰσίας τῷ πρωτοστάτῃ τῶν εἰρημένων ἐπισκηψάσης, ὑφ' ἧς δὴ καὶ τὰ τῆς διανοίας εἰς ἔκστασιν αὐτῷ παρήγετο, σὺν τῷ μετ' αὐτὸν δευτερείοις τετιμημένῳ, τὸν δημώδη καὶ ἰδιωτικὸν ἀπολαμβάνει βίον. οὔπω δὲ ταῦθ' οὕτω πέπρακτο, καὶ διχῆ τὰ πάντα τῆς ἀρχῆς διαιρεῖται. πρᾶγμα μὴ δ' ἄλλοτέ πω γεγονὸς, μνήμῃ παραδεδομένον. χρόνου δ' οὐ πλείστου μεταξὺ γενομένου, βασιλεὺς Κωνστάντιος τὸν πάντα βίον πρᾳότατα καὶ τοῖς ὑπηκόοις εὐνοϊκώτατα, τῷ τε θείῳ λόγῳ προσφιλέστατα διαθέμενος, παῖδα γνήσιον Κωνσταντῖνον Αὐτοκράτορα καὶ Σεβαστὸν ἀνθ' ἑαυτοῦ καταλιπὼν, κοινῷ φύσεως νόμῳ τελευτᾷ τὸν βίον· πρῶτός τε ἐν θεοῖς ἀνηγορεύετο παρ' αὐτοῖς, ἁπάσης μετὰ θάνατον, ὅση βασιλεῖ τις ἂν ὠφείλετο, τιμῆς ἠξιωμένος. χρηστότατος καὶ ἠπιώτατος βασιλέων· ὃς δὴ καὶ μόνος τῶν καθ' ἡμᾶς ἐπαξίως τῆς ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς διατελέσας χρόνον. καὶ τἄλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρασχὼν ἑαυτόν. τοῦ τε καθ' ἡμῶν πολέμου μηδαμῶς ἐπικοινωνήσας, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους φυλάξας. καὶ μήτε τῶν ἐκκλησιῶν τοὺς οἴκους καθελὼν, μήθ' ἕτερόν τι καθ' ἡμῶν καινουργήσας, τέλος εὐδόκιμον καὶ τρισμακάριον ἀπείληφε τοῦ βίου. μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ διαδόχῳ γνησίῳ παιδὶ, πάντα σωφρονεστάτῳ τε καὶ εὐσεβεστάτῳ, τελευτήσας. τούτου παῖς Κωνσταντῖνος εὐθὺς ἀρχόμενος, βασιλεὺς τελεώτατος καὶ Σεβαστὸς πρὸς τῶν στρατοπέδων, καὶ ἔτι πολὺ τούτων πρότερον πρὸς

Arium Romanum, quis explicare sufficiet? Quo quidem tempore ii qui summam Imperii administrabant, decennalibus ac vicennalibus expletis, in festivitatibus, spectaculis, epulis omniq; hilaritatis genere pacatè & tranquillè degebant. Ita cùm eorum Principatus absque ullo augeretur obstaculo, novisque in dies incrementis floreret; repentè mutato consilio pacem quam nobiscum servabant solventes, bellum nobis inexpiabile intulerunt. Necdum alter annus hujus bellici motus expletus fuerat, cum ecce novus quidam & inopinatus casus rem Romanam pænè B subvertit. Nam cum ille qui inter Imperatores supradictos primum locum obtinebat, in difficilem quendam morbum incidisset, cujus vi demotus jam de mentis suæ statu esse videbatur; unà cum eo Imperatore qui secundus ab ipso erat, ad privatam vitam se contulit. Vix hæc gesta fuerant, cùm Imperium Romanum totum in duas partes divisum est; quod quidem nunquam antea factum esse memoratur. Paulò pòst Imperator Constantius, vir in omni vita placidissimus; qui & clementia in C subditos, & singulari erga fidem nostram benevolentia præditus erat, Constantinum proprium filium vice sua Imperatorem atque Augustum relinquens, fatali morte defunctus est. Primusque ab ipsis Gentilibus relatus est inter Divos, cunctisque honoribus qui Imperatori debentur, post obitum ornatus. Omnium Principum clementissimus ac benignissimus; & qui ex cunctis nostri temporis Imperatoribus, solus convenientem Imperatoriæ Majestati vitam exegit. Denique tum aliis in rebus humanissimum se ac beneficentissimum erga omnes præstitit; tum concitati adversus nos belli nullatenus D particeps fuit. Sed cùm veri Dei cultores qui sub Imperio suo degebant, immunes ab omni noxa & calumnia servasset, nec aut Ecclesiarum ædes subvertisset, aut quidquam adversus nostros esset molitus, tandem felicissimum ac beatissimum vitæ exitum consecutus est. Quippe qui solus omnium, in Imperio suo cum summa tranquillitate & gloria, successorem relinquens proprium filium, modestissimum ac religiosissimum Principem, ex hac luce migravit. Hujus igitur filius Constantinus, ab ipso statim exordio supremus Imperator & Augustus à militi-



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

bus, diuque antea ab omnium Imperatore Deo renuntiatus, paternæ erga fidem nostram pietatis æmulatorem se præstitit. Et hic quidem ejusmodi fuit. Posthæc Licinius communi Imperatorum suffragio Imperator & Augustus declaratus est. Quod quidem Maximinus ægrè admodum tulit, qui hactenus Cæsar duntaxat ab omnibus appellabatur. Hic ergo præ ceteris tyrannico ingenio præditus, Augustus à semetipso renuntiatus est. Sub id tempus Maximianus quem post depositum Imperium iterum purpuram sumpsisse retulimus; cum adversus Constantinum insidias moliri deprehensus esset, fœdissimo mortis genere interiit. Primusque hic fuit, cujus utpote impii ac sceleratissimi hominis imagines omnes & statuæ ceteráque id genus monumenta quæ in honorem Imperatorum erigi solent, dejecta atque abolita sunt.

## Caput XIV.

*De moribus persecutorum.*

Huc refer Niceph. l. 7, c. 21.

HUjus filius Maxentius qui Romæ tyrannidem arripuit, principio quidem fidei nostræ professionem simulavit, ut in eo morem gereret blandireturq; populo Romano. Itaque subditis suis præcepit, ut à persecutione Christianorum desisterent; fictam scilicet pietatis speciem præ se ferens, utq; benignior multò atq; humanior superioribus Principibus videretur. Verùm progressu temporis haudquaquam talem se rebus ipsis præstitit, qualis futurus sperabatur. Quin contra ad omnia scelera & flagitia æstu quodam mentis abreptus, nullum impietatis aut libidinis genus prætermisit. Nam & adulteria & cujusquemodi stupra perpetrabat. Cumque uxores legitimas à viris per divortium abstraxisset, ipse cum omni fœditate & ignominia eis illudens, denuò ad maritos easdem remittebat. Neque verò viles duntaxat & obscuros homines hujusmodi injuriis afficere studebat, sed illos præcipuè qui in Senatu Romano principem locum obtinebant; eminentissimo cuiq; maximè insultans. Proinde tam plebeji omnes quàm Magistratus, tam obscuri quàm nobiles, eum reformidantes, gravissima tyrannide opprimebantur. Ac tametsi quietè agerent & tyrannidem patienter tolerarent, ne sic tamen vitare poterant cruentam tyranni atrocitatem. Denique quodam die levissimam ob causam,

αὐτοῦ τοῦ παμβασιλέως Θεοῦ ἀναγορευθείς, ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. καὶ ὁ μὲν τοιοῦτος. Λικίνιος δὲ ἐπὶ τούτοις ὑπὸ κοινῆς ψήφου τῶν κρατούντων Αὐτοκράτωρ καὶ Σεβαστὸς ἀναπέφηνε. ταῦτα Μαξιμῖνον δεινῶς ἐλύπει, μόνον Καίσαρα παρὰ πάντων εἰσέτι τότε χρηματίζοντα· ὃς δὴ οὖν τὰ μάλιστα τυραννικὸς ὤν, παραρπάσας ἑαυτῷ τὴν ἀξίαν, Σεβαστὸς ἦν, αὐτὸς ὑφ' ἑαυτοῦ γεγονώς. ἐν τούτῳ δὲ Κωνσταντίνῳ μηχανὴν θανάτου συρράπτων ἁλούς, ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένος, αἰσχίστῳ καταστρέφει θανάτῳ. πρώτου δὲ τούτου τὰς ἐπὶ τιμῇ γραφάς, ἀνδριάντας τε καὶ ὅσα τοιαῦτα ἐπ' ἀναθέσει νενόμισται, ὡς ἀνοσίου καὶ δυσσεβεστάτου καθῄρουν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τοῦ τρόπου τῶν τῆς εὐσεβείας ἐχθρῶν.

ΤΟύτου παῖς Μαξέντιος ὁ τὴν ἐπὶ Ῥώμης τυραννίδα συστησάμενος, ἀρχόμενος μὲν τὴν καθ' ἡμᾶς πίστιν ἐπ' ἀρεσκείᾳ καὶ κολακείᾳ τοῦ δήμου Ῥωμαίων καθυπεκρίνατο. ταύτῃ τε τοῖς ὑπηκόοις τὸν κατὰ Χριστιανῶν ἀνεῖναι προστάττει διωγμόν, εὐσέβειαν ἐπιμορφάζων, καὶ ὡς ἂν δεξιὸς καὶ πολὺ πρᾶος παρὰ τοὺς προτέρους φανείη· οὐ μὴν οἷος ἔσεσθαι ἠλπίσθη, τοιοῦτος ἔργοις ἀναπέφηνεν, εἰς πάσας δ' ἀνοσιουργίας ὀκείλας, οὐδὲν ὅ τι μιαρίας ἔργον καὶ ἀκολασίας παραλέλοιπεν, μοιχείας τε καὶ παντοίας ἐπιτελῶν φθοράς· διαζευγνὺς γέτοι τῶν ἀνδρῶν τὰς κατὰ νόμον γαμετάς, ταύτας ἐνυβρίζων, ἀτιμότατα τοῖς ἀνδράσιν αὖθις ἀπέπεμπε· καὶ ταῦτ' οὐκ ἀσήμοις οὐδ' ἀφανέσιν ἐγχειρῶν ἐπετήδευεν, ἀλλ' αὐτῶν δὴ μάλιστα τῶν τὰ πρῶτα τῆς Ῥωμαίων συγκλήτου βουλῆς ἀπενηνεγμένων ἐμπαροινῶν τοῖς ἐξοχωτάτοις. οἱ πάντες δ' αὐτὸν ὑποπεπτηχότες δῆμοι καὶ ἄρχοντες, ἔνδοξοί τε καὶ ἄδοξοι, δεινῇ κατετρύχοντο τυραννίδι. καὶ οὐδ' ἠρεμούντων καὶ τὴν πικρὰν φερόντων δουλείαν, ἀπαλλαγή τις ὅμως ἦν τῆς τοῦ τυράννου φονικῆς ὠμότητος· ἐπὶ σμικρᾷ γοῦν ἤδη ποτὲ προφάσει, τὸν δῆμον εἰς φόνον τοῖς ἀμφ' αὐτὸν δορυφόροις ἐκδίδωσι· καὶ ἐκτείνετο μυρία τ

GALERIUS.

δήμου Ῥωμαίων πλήθη ἐπὶ μέσης τῆς πόλεως, οὐ Σκυθῶν οὐδὲ Βαρβάρων, ἀλλ᾽ αὐτῶν τῶν οἰκείων δόρασι καὶ πανοπλίαις. συγκλητικῶν γε μὴν φόνος ὁπόσος δι᾽ ἐπιβουλὴν ἐνηργεῖτο τῆς οὐσίας, οὐδ᾽ ἐξαριθμήσασθαι δυνατὸν, ἄλλοτε ἄλλαις πεπλασμέναις αἰτίαις μυρίων ἀναιρουμένων. ἡ δὲ τῶν κακῶν τῷ τυράννῳ κορωνὶς, ἐπὶ γοητείαν ἤλαυνε. μαγικαῖς ἐπινοίαις τοτὲ μὲν, γυναῖκας ἐγκύμονας ἀνασχίζοντος. τοτὲ δὲ νεογνῶν σπλάγχνα βρεφῶν διερευνωμένου. λέοντάς τε κατασφάττοντος, καί τινας ἀρρητοποιίας ἐπὶ δαιμόνων προκλήσεις καὶ ἀποτροπιασμὸν τοῦ πολέμου συνισταμένου· διὰ τούτων γὰρ αὐτῷ τὰ τῆς νίκης κατορθωθήσεσθαι, ἡ πᾶσα ἐτύγχανεν ἐλπίς. οὗτος μὲν οὖν ἐπὶ Ῥώμης τυραννῶν, οὐδ᾽ ἔστιν εἰπεῖν οἷα δρῶν τοὺς ὑπηκόους κατεδουλοῦτο. ὡς ἤδη καὶ τῶν ἀναγκαίων τροφῶν ἐν ἐσχάτῃ σπάνει καὶ ἀπορίᾳ καταστῆναι, ὅσην ἐπὶ Ῥώμης οὐδ᾽ ἄλλοτε οἱ καθ᾽ ἡμᾶς γενέσθαι μνημονεύουσιν. ὁ δ᾽ ἐπ᾽ ἀνατολῆς τύραννος Μαξιμῖνος, ὡς ἂν πρὸς ἀδελφὸν τὴν κακίαν πρὸς τὸν ἐπὶ Ῥώμης φιλίαν κρύφην σπενδόμενος, ἐπὶ πλεῖστον χρόνον λανθάνειν ἐφρόντιζε· φωραθεὶς γέ τοι ὕστερον, δίκην τίννυσι τὴν ἀξίαν. ἦν δὲ θαυμάσαι ὅπως καὶ οὗτος τὰ συγγενῆ καὶ ἀδελφὰ. μᾶλλον δὲ κακίας τὰ πρῶτα καὶ τὰ νικητήρια τῆς τοῦ κατὰ Ῥώμην τυράννου κακοτροπίας ἀπενηνεγμένος. γοήτων τε γὰρ καὶ μάγων οἱ πρῶτοι τῆς ἀνωτάτω παρ᾽ αὐτῷ τιμῆς ἠξίωντο. ψοφοδεοῦς ἐς τὰ μάλιστα καὶ δεισιδαιμονεστάτου καθεστῶτος, τήν τε περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας περὶ πολλοῦ τιθεμένου πλάνην. μαντειῶν γοῦν δίχα καὶ χρησμῶν, οὐδὲ μέχρις ὄνυχος, ὡς εἰπεῖν, τολμᾶν τι κινεῖν οἷός τε ἦν. οὗ χάριν καὶ τῷ καθ᾽ ἡμῶν σφοδρότερον ἢ οἱ πρόσθεν καὶ πυκνότερον ἐπετίθετο διωγμῷ. νεώς τε κατὰ πᾶσαν πόλιν ἐγείρειν, καὶ τὰ χρόνου μήκει καθῃρημένα τεμένη, διὰ σπουδῆς ἀνανεοῦσθαι προστάττων· ἱερέας τε εἰδώλων κατὰ πάντα τόπον καὶ πόλιν. καὶ ἐπὶ τούτων ἑκάστης ἐπαρχίας ἀρχιερέα, τῶν ἐν πολιτείαις ἕνα γέ τινα τὸν μάλιστα ἐμφανῶς διὰ πάσης ἐμπρέψαντα λειτουργίας, μετὰ στρατιωτικοῦ στίφους καὶ δορυφορίας ἐντάσσων. ἀναίδην τε πᾶσι γόησιν, ὡς ἂν εὐσεβέσι καὶ Θεῶν προσφιλέσιν, ἡγεμονίας καὶ τὰς μεγίστας προνομίας δωρούμενος. ἐκ δὴ τούτων ὁρμώμενος,

populum Romanum militibus Prætorianis tradidit occidendum. Atque ita innumerabilis multitudo populi Romani, non Scytharum ac Barbarorum, sed civium suorum hastis armisq; in media urbe trucidata est. Quantæ porrò Senatorum cædes factæ sint, ut in bona eorum invaderetur; numerari nullo modo potest, cùm plurimi quotidie fictis variis criminibus interficerentur. tandem verò tyrannus sceleribus suis quasi quoddam fastigium, magicæ artis præstigias imposuit: nunc mulieres gravidas dissecans: nunc infantum recens in lucem editorum rimans viscera: Leones quoque interdum mactans: & nefanda quędam peragens sacra ad dæmones evocandos, & ad bellum quod jam imminebat depellendum. His enim artibus victoriam se adepturum haud dubia spe præsumpserat. Hic igitur dum Romæ tyrannidem exercet, vix dici potest quot quantisq; malis subditos oppresserit, atque in servitutem redegerit; adeo ut ad extremam trusi sint alimentorum penuriam, qualem antea Romæ aut alibi unquam fuisse nulla hominum memoria recordari potest. At in Orientis partibus tyrannus Maximinus, inito clam fœdere cum Maxentio Romanæ urbis tyranno, utpote scelerum germanitate sibi junctissimo; diu quidem latere studuit. Tandem verò deprehensus pœnas debitas persolvit. Mirum est enim quanta hic nequitiæ affinitate & similitudine, Romanæ urbis tyrannum expresserit, seu potius longo intervallo superarit. Quippe impostorum & magorum principes, summi honoris apicem apud eum obtinebant: cùm ipse supra modum meticulosus esset ac superstitiosus, & simulacrorum ac dæmonum vanitati inprimis deditus. Nihil certè aggredi, nihil summo, quod ajunt, digito commovere absq; vaticiniis & oraculis audebat. Quam ob causam acerbius ac vehementius quàm superiores Principes persequi nostros instituit: Deorum templa in singulis urbibus erigi præcipiens, & si quæ essent temporis vetustate collapsa, reparari. Adhæc Flamines in singulis locis atq; urbibus constituit; iisdemq; Sacerdotem cujusque Provinciæ præfecit, eum qui cunctis in curia muneribus egregiè perfunctus esset; addito ei militari satellitio. Denique hariolis omnibus, velut religiosis viris ac divino Numini acceptissimis, provinciarum administrationes &

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

maxima privilegia concessit. Posthæc A non unam duntaxat urbem aut regionem, sed universas Provincias Imperio suo subjectas, auri argentique & pecuniarum exactionibus, & indictionibus gravissimis, variisque subinde condemnationibus vexavit atque oppressit. Sed & locupletissimum quemque paternis avitisque spolians bonis, ingentes opes ac nummorum acervos assentatoribus suis donabat. Jam verò temulentiæ & crapulæ eò usque obnoxius fuit, ut in compotationibus insaniret ac fureret; & ea imperaret ebrius, quorum postridiè sobrium pœnitebat. B Quod autem ad luxum ac delicias attinet, in eo nulli secundus; nequitiæ omnis magistrum se tum Rectoribus tum subditis suis exhibuit. Ac milites quidem lascivia ac mollitie diffluere permisit. Præsides verò ac Duces, perinde ac tyrannidis suæ consortes, omni rapacitate atque avaritia grassari adversus provinciales præcepit. Quid dicam de fœdissima hominis libidine? Quid de innumerabilibus adulteriis? Neque enim per ullam urbem iter unquam fecit, quin mulierum stupra, & virginum raptus in ea perpetraret. Atque hæc ex voto ipsi successerunt adversus cunctos, C solis exceptis Christianis: qui calcato mortis metu, tam violentam hominis tyrannidem despexerunt. Nam & viri ignem ac ferrum, clavorum suffixiones, bestias; profundos maris gurgites, membrorum abscissiones ac perustiones; confixiones & effossiones oculorum, totius denique corporis mutilationes: ad hæc famem, metalla ac vincula perpessi, in his omnibus maluerunt pro vera pietate tolerantiæ suæ specimen edere, quàm rejecto Dei cultu simulacra venerari. Et mulieres D doctrina veræ fidei non minus quàm viri roboratæ, aliæ eadem quæ viri certamina subierunt, & æqualia virtutis adeptæ sunt præmia. Aliæ cum raperentur ad stuprum, vitam citius quàm pudorem corporis sui prodere sustinuerunt. Certè unica mulier Christiana, Alexandrinarum omnium nobilissima atque opulentissima; cum cæteræ à tyranno violatæ fuissent, effusam atque effrenatam Maximini libidinem virili quadam animi celsitudine devicit. Mulier tum ob splen-

A πόλιν μὲν οὐ μίαν οὐδὲ χώραν, ὅλας δὲ ἀθρόως τὰς ὑπ' αὐτὸν ἐπαρχίας, χρυσοῦ καὶ ἀργύρου καὶ χρημάτων ἀμυθήτων εἰσπράξεσιν, ἐπισκήψεσί τε βαρυτάταις, καὶ ἄλλοτε ἄλλαις καταδίκαις ἠνία καὶ κατεπίεζε. τῶν γε μὴν εὐπόρων τὰς ἐκ προγόνων περιποιηθείσας οὐσίας ἀφαιρούμενος, πλούτους ἀθρόως καὶ σωρείας χρημάτων τοῖς ἀμφ' αὐτὸν κόλαξιν ἐδωρεῖτο. παροινίας γε μὴν καὶ μέθης ἐς τοσαύτην ἠνέχθη φορὰν, ὡς ἐν τοῖς πότοις παρακόπτειν καὶ τῶν φρενῶν παρεξίστασθαι. τοιαῦτά τε μεθύοντα προστάττειν, οἷα ἀνανήψαντα αὐτὸν τῇ B ὑστεραίᾳ, εἰς μεταμέλον ἄγειν. κραιπάλης δὲ καὶ ἀσωτίας μηδενὶ καταλιπὼν ὑπερβολὴν, κακίας διδάσκαλον τοῖς ἀμφ' αὐτὸν ἄρχουσί τε καὶ ἀρχομένοις ἑαυτὸν καθίστη. θρύπτεσθαι μὲν τὸ στρατιωτικὸν διὰ πάσης τρυφῆς τε καὶ ἀκολασίας ἐνάγων. ἡγεμόνας δὲ καὶ στρατοπεδάρχας δι' ἁρπαγῶν καὶ πλεονεξίας χωρεῖν κατὰ τῶν ὑπηκόων, μονονουχὶ συντυραννοῦντας αὐτῷ προσκαλούμενος. τί δεῖ τὰς ἐμπαθεῖς τοῦ ἀνδρὸς αἰσχρουργίας μνημονεύειν; ἢ τῶν πρὸς αὐτοῦ μεμοιχευμένων ἀπαριθμεῖσθαι τὴν πληθύν; οὐκ ἦν γέ τοι πόλιν αὐτὸν παρελθεῖν, μὴ οὐχὶ C ἐκ παντὸς φθορὰς γυναικῶν, παρθένων τε ἁρπαγὰς εἰργασμένον. κατὰ πάντων γέ τοι αὐτῷ ταῦτα προὐχώρει, μὴ ὅτι μόνων Χριστιανῶν. οἳ θανάτου καταφρονήσαντες, παρ' οὐδὲν αὐτοῦ τὴν τοσαύτην ἔθεντο τυραννίδα. οἱ μὲν γὰρ ἄνδρες ἀνατλάντες πῦρ καὶ σίδηρον καὶ προσηλώσεις. θῆράς τε ἀγρίους καὶ θαλάττης βυθοὺς, ἀποτομάς τε μελῶν καὶ καυτῆρας, καὶ ὀφθαλμῶν κεντήσεις τε καὶ ἐξορύξεις, καὶ τοῦ παντὸς σώματος ἀκρωτηριασμούς. λιμόν τε ἐπὶ τούτοις καὶ μέταλλα καὶ δεσμά. ἐπὶ πάντων μᾶλλον ὑπομονὴν τὴν ὑπὲρ εὐσεβείας ἐνεδείξαντο, ἢ τὸ σέβας τὸ εἰς Θεὸν εἰδώλοις ἀντικατηλλάξαντο. αἱ δ' αὖ γυναῖκες οὐχ ἧττον τῶν ἀνδρῶν ὑπὸ τῆς τοῦ θείου λόγου διδασκαλίας ἠρρενωμέναι. αἱ μὲν τοὺς αὐτοὺς τοῖς ἀνδράσιν ἀγῶνας ὑποστᾶσαι, ἴσα τῆς ἀρετῆς ἀπηνέγκαντο βραβεῖα· αἱ δὲ ἐπὶ φθορὰν ἑλκόμεναι, θᾶττον τὴν ψυχὴν θανάτῳ, ἢ τὸ σῶμα τῇ φθορᾷ παραδεδώκασι. μόνη γοῦν τῶν ἄλλων ὑπὸ τοῦ τυράννου μεμοιχευμένων, Χριστιανὴ τῶν ἐπ' Ἀλεξανδρείας ἐπισημοτάτη τε καὶ λαμπροτάτη. τὴν ἐμπαθῆ καὶ ἀκόλαστον Μαξιμίνου ψυχὴν, δι' ἀνδρειοτάτου παραστήματος ὑπερεξενίκησεν. ἔνδοξος μὲν τἄλλα πλούτῳ

τε καὶ γένει καὶ παιδείᾳ, πάντων γε μὴν δεύτερα σωφροσύνης τεθειμένη· ἣν καὶ πολλὰ λιπαρήσας, κτεῖναι μὲν ἑτοίμως θνήσκειν ἔχουσαν οὐχ οἷός τε ἦν, τῆς ἐπιθυμίας μᾶλλον τοῦ θυμοῦ καταχρατούσης αὐτοῦ· φυγῇ δὲ ζημιώσας, πάσης ἀφείλετο τῆς οὐσίας. μυρίαι δ' ἄλλαι πρὸς τῶν κατ' ἔθνος ἀρχόντων πορνείας ἀπειλὴν μηδ' ἀκοῦσαι δεδυνημέναι, πᾶν εἶδος βασάνων καὶ στρεβλώσεων καὶ θανατηφόρου κολάσεως ὑπέστησαν. θαυμασταὶ μὲν οὖν καὶ αὗται· ὑπερφυῶς γε μὴν θαυμασιωτάτη ἡ ἐπὶ Ῥώμης εὐγενεστάτη τῷ ὄντι καὶ σωφρονεστάτη γυνὴ πασῶν, αἷς ἐμπαροινεῖν ὁ ἐκεῖσε τύραννος Μαξέντιος τὰ ὅμοια Μαξιμίνῳ δρῶν ἐπειρᾶτο. ὡς γὰρ ἐπιστάντας τῷ οἴκῳ τοὺς τὰ τοιαῦτα τῷ τυράννῳ διακονουμένους ἐπύθετο (χριστιανὴ δὲ καὶ αὕτη ἦν) τόν τε ἄνδρα τὸν αὐτῆς καὶ ταῦτα Ῥωμαίων ὄντα ἔπαρχον, τοῦ δέους ἕνεκα λαβόντας αὐτὴν ἄγειν ἐπιτρέψαντα, ἐς βραχὺ ὑποπαραιτησαμένη ὡς ἂν ἤδη κατακοσμηθείη τὸ σῶμα, εἴσεισιν ἐπὶ τοῦ ταμείου. καὶ μονωθεῖσα, ξίφος καθ' ἑαυτῆς πήγνυσι· θανοῦσά τε παραχρῆμα τὸν μὲν νεκρὸν τοῖς προαγωγοῖς καταλιμπάνει. ἔργοις δ' αὐτοῖς ἁπάσης φωνῆς γεγωνοτέροις, ὅτι μόνον χρημάτων ἀήττητόν τε καὶ ἀνώλεθρον ἡ παρὰ χριστιανοῖς ἀρετὴ πέφυκεν, εἰς πάντας ἀνθρώπους τούς τε νῦν ὄντας καὶ τοὺς μετὰ ταῦτα γενησομένους ἐξέφηνε· τοσαύτη δῆτα κακίας φορὰ ὑφ' ἕνα καὶ τὸν αὐτὸν συνηνέχθη καιρόν, πρὸς τῶν δύο τυράννων ἀνατολὴν καὶ δύσιν διειληφότων κατεργασθεῖσα. τίς δ' ἂν τὴν τῶν τοσούτων διερευνώμενος αἰτίαν, διστάξαι, μὴ οὐχὶ τὸν καθ' ἡμῶν διωγμὸν ἀποφήνασθαι. ὅτε γε μάλιστα οὐ πρότερον τὰ τῆς τοσῆσδε πέπαυτο συγχύσεως, ἢ χριστιανοὺς τὰ τῆς παρρησίας ἀπολαβεῖν.

A rem generis ac divitias, tum ob singularem doctrinam celeberrima: sed quæ modestiam ac pudicitiam his omnibus preferebat. Quam cum tyrannus sępius interpellasset de stupro, obtrūcare quidem illam, mori utiq; paratam, non sustinuit, eòquod crudelitate superior esset cupiditas. Ceterùm bonis omnibus spoliatam, exsilio damnavit. Sexcentę quoque aliæ, cùm stupri minas quas provinciarum Rectores ipsis intentabant ne auditu quidem tenus ferre potuissent, omnia cruciatuum, tormentorū & capitalium suppliciorum genera pertulere.
B Omnes quidem admiratione dignissimę; sed præ omnib⁹ admirationem meretur mulier illa in urbe Roma, omnium earum quas Maxentius illarum partium tyrannus Maximino in cunctis simillimus violare aggressus est, longè nobilissima & castissima. Hæc enim simulatq; eos quibus tyrannus ad hujusmodi flagitia ministris utebatur, irrupisse in domum suam comperit, & maritum suum qui Præfecturam Romanæ urbis gerebat, conterritum permisisse satellitibus ut ipsam abducerent (erat autem Christiana) breve temporis spatium quasi ad
C exornandum corpus cōcedi sibi postulavit. Posthæc in cubiculum ingressa, solam se relictam esse circumspiciens, gladium pectori immergit. Quo vulnere protinus exanimata, cadaver quidem perductorib⁹ dereliquit: ipso autem facto, quod profectò omni vocis sono clarius intonat, universis qui nunc sunt & qui posthac erunt hominibus denuntiavit, solam Christianorum virtutem invictam & inexpugnabilē nec morti obnoxiam esse. Talis ac tanta nequitiæ copia uno eodemq; tempore exuberavit; auctoribus duobus tyrannis, quorum alter
D Orientem, alter Occidentem occupaverat. Quis est porrò qui cum tantorum malorum caussam inquisiverit, affirmare dubitet, persecutionē adversus nos concitatam horum omnium fontem exstitisse? Cum præsertim nonnisi post redditam Christianis libertatem, tanta Reipublicæ perturbatio finem acceperit.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν τοῖς ἐκτὸς συμβεβηκότων.

Διὰ παντός γέτοι τοῦ κατὰ τὸν διωγμὸν δεκαέτους χρόνου, τῆς εἰς ἐπιβουλὴν καὶ πόλεμον τὸν κατ' ἀλλήλων, οὐδὲν αὐτοὺς διαλέλοιπεν. ἄπλωτα μὲν γὰρ τὰ κατὰ θάλατταν ἦν. οὐδ'

## Caput XV.

*De his quæ Gentilibus acciderunt.*

Toto certè persecutionis decennio, nunquam à mutuis inter ipsos insidiis, & ab intestino bello cessatum est. Ac mare quidem navigantibus impervium erat. Et quicunque alicunde sol-

Huc refert Niceph. l. 7. c. 22.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

verant, protinus capti gravissimis verberibus afficiebantur, & tormentis atq; ungulis latera sulcantibus, omniq; cruciatuum genere interrogabantur, utrum ab hostibus venirent: tandemque crucis supplicio aut incendio necabantur. Jam clypei & loricæ, tela & hastæ, aliaque ejusmodi bellorum instrumenta ubique comparabantur. Adhæc triremes & arma ad navales pugnas accommodata passim instruebantur. Nec aliud quicquam exspectare unusquisq; poterat quàm quotidianam hostium incursionem. Fames posthæc pestisque supervenit, de quibus suo loco ac tempore dicturi sumus.

## Caput XVI.

*De rebus in meliorem statum restitutis.*

Huc refer Niceph. l. 7, c. 22. HÆc sunt quæ toto persecutionis illius tempore contigerunt. Quæ quidem persecutio ope divini Numinis, anno tandem decimo prorsus sedata est, cùm post octavum annum aliquantisper remittere cœpisset. Postquam enim cælestis Dei gratia benigno nos ac propitio vultu respexit, tum Principes illi ipsi qui persecutionem adversus nostros primùm commoverant, repentè præter omnium spem mutatâ sententiâ palinodiam cecinere; humanis erga nos edictis & mitissimis constitutionibus, ardentissimum persecutionis incendium restinguentes. Neque verò humanum quidquam, neque Imperatorum (quod aliquis fortè suspicari posset) clementia & commiseratio, hujusce rei causa exstitit. Quippe cùm illi ab ipso persecutionis exordio ad id usque temporis, plura in dies & acerbiora in nos excogitarent; varia subinde suppliciorum adversus nostros genera & machinamenta commenti. Verùm manifesta præsentia divini Numinis, quod cum populo quidem suo jam redierat in gratiam; ipsum verò auctorem malorum & totius persecutionis atque improbitatis antesignanum infensius persequebatur, id tandem effecit. Etsi enim hæc ita fieri oportebat juxta divinæ voluntatis arbitrium, tamen ut ait Scriptura; Væ illi per quem scandalum evenit. (Matth. 18.) Illum igitur pœna cælitùs inflicta corripuit, ab ipsis exorsa carnibus, & ad animam usque progressa. Repentè enim circa media occultiorum

A ἐξ ἧς ποθὲν καταπλεύσαντας, μὴ οὐχὶ πάσαις αἰκίαις ὑπάγεσθαι, στρεβλουμένους καὶ τὰς πλευρὰς καταξαινομένους. βασάνοις τε παντοίαις μὴ ἄρα παρὰ τῶν δι' ἐναντίας ἐχθρῶν ἥκοιεν ἀνακρινομένους. καὶ τέλος, σταυροῖς ἢ τῇ διὰ πυρὸς ὑπαγομένους κολάσει. ἀσπίδων ἐπὶ τούτοις καὶ θωράκων παρασκευαί, βελῶν τε καὶ δοράτων καὶ τῆς ἄλλης πολεμικῆς παρατάξεως ἑτοιμασίαι. τριήρων τε καὶ τῶν κατὰ ναυμαχίαν ὅπλων κατὰ πάντα συνεκροτοῦντο τόπον. οὐδ' ἄλλο τι παντὶ τῳ προσδοκᾶν, ἢ πολεμίων κατὰ πᾶσαν ἔφοδον ἡμέραν. τούτοις καὶ ὁ μετὰ ταῦτα
B λιμός τε καὶ λοιμὸς ἐγκατασκήπτει. περὶ ὧν κατὰ καιρὸν ἱστορήσωμεν τὰ δέοντα.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

*Περὶ τῆς ἐπὶ τὸ κρεῖττον τῶν πραγμάτων μεταβολῆς.*

ΤΟιαῦτ' ἦν τὰ διὰ παντὸς τοῦ διωγμοῦ παρατετακότα. δεκάτῳ μὲν ἔτει σὺν θεοῦ χάριτι παντελῶς πεπαυμένου. λωφᾶν γε μὴν μετ' ὄγδοον ἔτος ἐναρξαμένου. ὡς γὰρ τὴν εἰς ἡμᾶς Ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεω ἡ θεία καὶ οὐράνιος χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ οἱ καθ' ἡμᾶς ἄρχοντες, αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ τῶν καθ' ἡμᾶς
C ἐνηργεῖτο πολέμων, παραδοξότατα μεταθέμενοι τὴν γνώμην, παλινῳδίαν ᾖδον. χρηστοῖς περὶ ἡμῶν προγράμμασι καὶ διατάγμασιν ἡμερωτάτοις, τὴν ἐπὶ μέγα ἀφθεῖσαν τοῦ διωγμοῦ πυρκαϊὰν σβεννύντες. οὐκ ἀνθρώπινον δέ τι τούτου κατέστη αἴτιον. οὐδ' οἶκτος, ὡς ἂν φαίη τις, ἢ φιλανθρωπία τῶν ἀρχόντων, πολλοῦ δεῖ. πλείω γὰρ ὁσημέραι καὶ χαλεπώτερα ἀρχῆθεν εἰς ἐκεῖνο τοῦ καιροῦ τὰ καθ' ἡμῶν αὐτοῖς ἐπενοεῖτο ποικιλωτέραις μηχαναῖς ἄλλοτε ἄλλως τὰς καθ' ἡμῶν αἰκίας ἐπικαινουργούν-
D των. ἀλλ' αὐτῆς γε τῆς θείας προνοίας ἐμφανὴς ἐπίσκεψις, τοῦ μὲν αὐτῆς καταλλαττομένης λαοῦ. τῷ δ' αὐθέντῃ τῶν κακῶν ἐπεξιούσης καὶ πρωτοστάτῃ τῆς τοῦ παντὸς διωγμοῦ κακίας ἐπιχολουμένης. καὶ γὰρ εἴ τι ταῦτ' ἐχρῆν κατὰ θείαν γενέσθαι κρίσιν, ἀλλὰ οὐαὶ φησὶν ὁ λόγος, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. μέτεισι γοῦν αὐτὸν θεήλατος κόλασις. ἐξ αὐτῆς αὐτοῦ καταρξαμένη σαρκὸς, καὶ μέχρι τῆς ψυχῆς προελθοῦσα. ἀθρόα μὲν γὰρ περὶ τὰ μέσα τῶν ἀπορρήτων τοῦ σώματος ἀπόστασις

GALERIUS.

γίγνεται αὐτῷ. εἶθ' ἕλκος ἐν βάθει συριγγῶδες, καὶ τούτων ἀνίατος νομὴ κατὰ τῶν ἐνδοτάτω σπλάγχνων· ἀφ' ὧν ἄλεκτόν τι πλῆθος σκωλήκων βρύειν, θανατώδη τε ὀδμὴν ἀποπνέειν, τοῦ παντὸς ὄγκου τῶν σωμάτων ἐκ πολυτροφίας αὐτῷ καὶ πρὸ τῆς νόσου εἰς ὑπερβολὴν πλήθους πιμελῆς μεταβεβληκότος· ἣν τότε κατασαπεῖσαν, ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσι παρέχειν τὴν θέαν, ἰατρῶν δ' οὖν οἱ μὲν, οὐδ' ὅλως ὑπομεῖναι τὴν τοῦ δυσώδους ὑπερβάλλουσαν ἀτοπίαν οἷοί τε, κατεσφάττοντο· οἱ δ' ᾠδηκότος τοῦ παντὸς ὄγκου καὶ εἰς ἀνέλπιστον σωτηρίας ἀποπεπτωκότος μηδὲν ἐπικουρεῖν δυνάμενοι, ἀνηλεῶς ἐκτείνοντο.

A corporis partium loca abscessus ei nascitur: ulcus deinde in imo fistulosum. Utriusque insanabilis morsus intima viscera depascebatur. Ex his incredibilis vermium multitudo scaturiens, lethalem exhalabat fœtorem. Quippe illi etiam ante hunc morbum, tota corporis moles ob nimiam alimenti copiam in immensam quandam pinguedinem excreverat: quæ tunc temporis in tabem soluta, horrendum & intolerabile spectaculum adstantibus præbebat. Ex medicis verò, alii quidem cùm nec ipsam odoris gravitatem sustinere possent, interficiebantur: alii cùm nullum remedium B afferre possent, utpotè tota corporis mole tumefacta, nec ulla jam spe salutis relicta; ob idipsum crudeliter necabantur.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

*Περὶ τῆς τῶν κρατούντων παλινῳδίας.*

Καὶ δὴ τοσούτοις παλαίων κακοῖς, συναίσθησιν τῶν κατὰ τῶν θεοσεβῶν αὐτῷ τετολμημένων ἴσχει. συναγαγὼν δ' οὖν εἰς ἑαυτὸν τὴν διάνοιαν, πρῶτα μὲν ἀνθωμολογεῖτο τῷ τῶν ὅλων Θεῷ· εἶτα τοὺς ἀμφ' αὐτὸν ἀνακαλέσας, μηδὲν ὑπερθεμένους τὸν κατὰ Χριστιανῶν ἀποπαῦσαι διωγμὸν, νόμῳ τε καὶ δόγματι βασιλικῷ τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν ἐπισπέρχειν τε καὶ τὰ συνήθη διαπράττεσθαι, εὐχὰς ὑπὲρ τοῦ βασιλείου ποιουμένους, προστάττει. αὐτίκα γοῦν ἔργου τῷ λόγῳ παρηκολουθηκότος, ἡπλοῦτο κατὰ πόλεις βασιλικὰ διατάγματα, τὴν παλινῳδίαν τῶν καθ' ἡμᾶς τοῦτον περιέχοντα τὸν τρόπον. Αὐτοκράτωρ Καῖσαρ Γαλέριος Οὐαλέριος Μαξιμῖνος. Ἀνίκητος, Σεβαστὸς, Ἀρχιερεὺς μέγιστος. Γερμανικὸς Μέγιστος, Αἰγυπτιακὸς Μέγιστος, Θηβαϊκὸς Μέγιστος, Σαρματικὸς Μέγιστος, πεντάκις Περσῶν Μέγιστος, δὶς Καρπῶν Μέγιστος, ἑξάκις Ἀρμενίων Μέγιστος, Μήδων Μέγιστος, Ἀδιαβηνῶν Μέγιστος. Δημαρχικῆς ἐξουσίας τὸ εἰκοστὸν· Αὐτοκράτωρ ἐννεακαιδέκατον· Ὕπατος τὸ ὄγδοον. Πατὴρ πατρίδος. Ἀνθύπατος. καὶ Αὐτοκράτωρ Καῖσαρ Φλαύιος Οὐαλέριος Κωνσταντῖνος· Εὐσεβὴς, Εὐτυχὴς, Ἀνίκητος, Σεβαστὸς. Ἀρχιερεὺς Μέγιστος, Δημαρχικῆς ἐξουσίας, Αὐτοκράτωρ τὸ Πέμπτον. Ὕπατος, Πατὴρ πατρίδος, Ἀνθύπατος· καὶ Αὐτοκράτωρ Καῖσαρ Οὐαλέριος Λικιννιανὸς. Εὐσεβὴς, Εὐτυχὴς, Ἀνίκητος, Σεβαστὸς. Ἀρχιερεὺς

## Caput XVII.

*De Imperatorum palinodia.*

Tandem verò adversus tot ærumnas conflictans, intelligere cœpit quæ in cultores Dei admiserat scelera. Totâque mentis acie in semetipsum conversa, primùm quidem Conditori omnium Deo errorem suum confessus est. Convocatis deinde palatii sui Proceribus, C absque ulla dilatione persecutionem Christianorum cohibere eos jubet, & Ecclesias illorum quantocius exstruere Imperiali rescripto præcipit, quò Christiani sacra sua solito more peragere possent, ac pro Imperatore preces ad Deum fundere. Confestim igitur verba subsequentibus factis, per singulas urbes proposita sunt edicta, palinodiam erga nos continentia in hunc modum.

*Huc refer Niceph. l. 7. c. 22. & 23.*

Imperator Cæsar Galerius Valerius Maximianus Invictus, Augustus, Pontifex Maximus, Germanicus Maxi- D mus, Ægyptiacus Maximus, Thebaïcus Maximus, Sarmaticus Maximus quintùm, Persicus Maximus, secundò Carpicus Maximus, sextò Armeniacus Maximus, Medicus Maximus, Adiabenicus Maximus, Tribuniciæ Potestatis XX. Imperator XIX. Consul VIII. Pater patriæ, Proconsul. Et Imperator Cæsar Flavius Valerius Constantinus, Pius, Felix, Invictus, Augustus; Pontifex Maximus, Tribuniciæ Potestatis V. Imperator V. Consul, Pater patriæ, Proconsul. Et Imperator Cæsar Valerius Licinianus, Pius, Felix, Invictus, Augustus, Pontifex

Maximus, Tribuniciæ Potestatis IV. Imperator III. Consul, Pater patriæ, Proconsul: Provincialibus suis salutem: Inter cetera quæ pro utilitate communi & pro salute Reipublicæ quotidie disponimus, prius quidem volueramus juxta mores & instituta majorum, & juxta publicam Romanorum disciplinam cuncta reparare. Ac præcipuè in id incubueramus, ut Christiani qui parentum suorum ritus ac cæremonias reliquerant, ad saniorem sententiam revocarentur. Tanta quippe eos arrogantia ac temeritas veluti ex consensu quodam invaserat, ut majorum institutis quæ fortasse ab ipsorum parentibus sancita fuerant, minimè acquiescerent: sed singuli pro arbitratu suo ac libidine leges sibi ipsis constituerent easque observarent, & in diversis sectis atque sententiis diversos cogerent cœtus. Proinde cùm nos ejusmodi promulgassemus edictum, ut ipsi ad ritus & instituta majorum reverterentur: multi eorum gravissimis discriminibus objecti; multi intentato suppliciorum metu, varia mortis genera pertulerunt. Cum igitur videremus plerosque eorum in hujusmodi amentia persistentes, nec Diis immortalibus cultum debitum exhibere, nec sacrorum Christianorum cæremonias obire; pro nostra humanitate & pro solemni instituto clementiæ nostræ quâ universis hominibus veniam impertiri consuevimus, in hoc etiam negotio libentissimè indulgentiam nostram censuimus esse proferendam; ut omnes Christiani ædes suas in quibus conventus peragebant, denuò instaurare possint, ita ut nihil contrarium disciplinæ suæ deinceps facere cogantur. Peculiari autem epistola Judicibus significabimus, quid ipsos observare oporteat. Quapropter ob hanc indulgentiam clementiæ nostrę Deum suum precari & obsecrare eos oportet, tum pro incolumitate nostra, tum pro Reipublicæ suáque ipsorum salute; ut & Reipublicæ status integer permaneat, & ipsi in suis domiciliis cum omni securitate possint degere. Hæc ex Latina lingua in Græcum sermonem à nobis prout potuimus translata, ita se habent. Quę verò posthæc subsecuta sunt, nunc tempus est ut consideremus.

*Finis Libri octavi Historiæ Ecclesiasticæ.*

A Μέγιστος. δημαρχικῆς ἐξουσίας τὸ τέταρτον, αὐτοκράτωρ τὸ τρίτον, ὕπατος. Πατὴρ πατρίδος, ἀνθύπατος, ἐπαρχιώταις ἰδίοις χαίρειν. μεταξὺ τῶν λοιπῶν ἅπερ ὑπὲρ τοῦ χρησίμου καὶ λυσιτελοῦς τοῖς δημοσίοις διατυπούμεθα, ἡμεῖς μὲν βεβουλήμεθα πρότερον κατὰ τοὺς ἀρχαίους νόμους καὶ τὴν δημοσίαν ἐπιστήμην τὴν τῶν Ῥωμαίων, ἅπαντα ἐπανορθώσασθαι. καὶ τούτου πρόνοιαν ποιήσασθαι, ἵνα καὶ οἱ Χριστιανοὶ οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασι τὴν αἵρεσιν, εἰς ἀγαθὴν πρόθεσιν ἐπανέλθοιεν. ἐπείπερ τινὶ λογισμῷ τοσαύτη αὐ- B τοὺς πλεονεξία κατεσχήκει καὶ ἄνοια κατειλήφει, ὡς μὴ ἕπεσθαι τοῖς ὑπὸ τῶν πάλαι καταδειχθεῖσιν, ἅπερ ἴσως πρότερον καὶ οἱ γονεῖς αὐτῶν ἦσαν καταστήσαντες. ἀλλὰ κατὰ τὴν αὐτῶν πρόθεσιν καὶ ὡς ἕκαστος ἐβούλετο, οὕτως ἑαυτοῖς καὶ νόμους ποιῆσαι, καὶ τούτους παραφυλάττειν, καὶ ἐν διαφόροις διάφορα πλήθη συνάγειν. τοιγαροῦν τοιούτου ὑφ' ἡμῶν προστάγματος παρακολουθήσαντος, ὥστε ἐπὶ τὰ ὑπὸ τῶν ἀρχαίων κατασταθέντα ἑαυτοὺς μεταθήσαιεν. πλεῖστοι μὲν κινδύνῳ ὑποβληθέντες, πλεῖστοι δὲ ταραχθέντες, παντοίους θανάτους ὑπέφερον. καὶ ἐπειδὴ C τῶν πολλῶν τῇ αὐτῇ ἀπονοίᾳ διαμενόντων, ἑρῶμεν μήτε τοῖς θεοῖς τοῖς ἐπουρανίοις τὴν ὀφειλομένην θρησκείαν προσάγειν αὐτοὺς, μήτε τῷ τῶν Χριστιανῶν προσέχειν, ἀφορῶντες εἰς τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν διηνεκῆ συνήθειαν, δι' ἧς εἰώθαμεν ἅπασιν ἀνθρώποις συγγνώμην ἀπονέμειν. προθυμότατα καὶ τούτῳ τὴν συγχώρησιν τὴν ἡμετέραν ἐπεκτεῖναι δεῖν ἐνομίσαμεν. ἵνα αὖθις ὦσι Χριστιανοὶ καὶ τοὺς οἴκους ἐν οἷς συνήγοντο συνθῶσιν οὕτως, D ὥστε μηδὲν ὑπεναντίον τῆς ἐπιστήμης αὐτοὺς πράττειν. δι' ἑτέρας δὲ ἐπιστολῆς τοῖς δικασταῖς δηλώσομεν, τί αὐτοὺς παραφυλάξασθαι δεήσει. ὅθεν κατὰ ταύτην τὴν συγχώρησιν τὴν ἡμετέραν, ὀφείλουσι τὸν ἑαυτῶν Θεὸν ἱκετεύειν περὶ σωτηρίας τῆς ἡμετέρας, καὶ τῶν δημοσίων, καὶ ἑαυτῶν. ἵνα κατὰ πάντα τρόπον καὶ τὰ δημόσια παρασχεθῇ ὑγιῆ, καὶ ἀμέριμνοι ζῆν ἐν τῇ ἑαυτῶν ἑστίᾳ δυνηθῶσι. ταῦτα κατὰ τὴν τῶν Ῥωμαίων φωνὴν, ἐπὶ τὴν Ἑλλάδα γλῶτταν κατὰ τὸ δυνατὸν μεταβληθέντα, τοῦτον ἔχει τὸν τρόπον. τί δὴ οὖν ἐπὶ τούτοις γίνεται, ἐπιθεωρῆσαι καιρός.

Τέλος τοῦ η' λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας.

Τὸ ὡς λεῖπον ἔν τισιν ἀντιγράφοις ἐν τῷ ὀγδόῳ λόγῳ.

Ἀλλ' ὁ μὲν τῆς γραφῆς αἴτιος μετὰ τὴν τοιάνδε ὁμολογίαν, αὐτίκα καὶ οὐκ εἰς μακρὰν τῶν ἀλγηδόνων ἀπαλλαγείς, μεταλλάττει τὸν βίον. τοῦτον δὴ λόγος ἔχει πρῶτον αἴτιον τῆς τοῦ διωγμοῦ καταστῆναι συμφορᾶς. ἔτι πάλαι πρὸ τῆς τῶν λοιπῶν βασιλέων κινήσεως, τοὺς ἐν στρατείαις χριστιανούς, καὶ πρώτους γε ἁπάντων τοὺς ἐπὶ τοῦ ἰδίου οἴκου παρατρέπειν ἐκβεβιασμένον. καὶ τοὺς μὲν τῆς στρατιωτικῆς ἀξίας ἀποκινοῦντα, τοὺς δὲ ἀτιμότατα καθυβρίζοντα. ἤδη δὲ καὶ θάνατον ἑτέροις ἐπαρτῶντα. καὶ τοὔσχατόν γε τοὺς τῆς βασιλείας κοινωνοὺς ἐπὶ τὸν κατὰ πάντων ἀνακεκινηκότα διωγμόν· ὧν καὶ αὐτῶν οὐκ ἄξιον τὸ τοῦ βίου τέλος παραδοῦναι σιωπῇ. τεττάρων οὖν τὴν κατὰ πάντων διειληχότων ἀρχήν, οἱ μὲν χρόνῳ καὶ τιμῇ προηγούμενοι, οὐδ' ὅλοις δυοῖν ἔτεσιν ἐπιγενόμενοι τῷ διωγμῷ, μεθιστᾶνται τῆς βασιλείας, ἣ καὶ πρόσθεν ἡμῖν δεδήλωται· καὶ δὴ τὸν ἐπίλοιπον τοῦ βίου χρόνον δημώδει καὶ ἰδιωτικῷ τρόπῳ διαγενόμενοι, τέλος τοιόνδε τῆς ζωῆς εἰλήχασιν. ὁ μὲν τιμῇ τε καὶ χρόνῳ τῶν πρωτείων ἠξιωμένος, μακρᾷ καὶ ἐπιλυποτάτῃ τῇ τοῦ σώματος ἀσθενείᾳ διεργασθείς. ὁ δὲ τὰ δεύτερα αὐτοῦ φέρων, ἀγχόνῃ τὴν ζωὴν ἀπορρήξας. κατά τινα δαιμονίαν προσημείωσιν τοῦτο παθών, διὰ πλείστας αὐτῷ τετολμημένας ῥᾳδιουργίας. τῶν δὲ μετὰ τούτους, ὁ μὲν ὕστατος, ὃν καὶ ἀρχηγὸν τοῦ παντὸς ἔφαμεν γεγονέναι διωγμοῦ, τοιαῦτα οἷα καὶ προδεδηλώκαμεν πέπονθεν· ὁ δὲ τοῦτον προάγων χρηστότατος καὶ ἠπιώτατος βασιλεὺς Κωνστάντιος, ἐπαξίως τῆς ἡγεμονίας τὸν ἅπαντα τῆς ἀρχῆς διατελέσας χρόνον. ἀλλὰ καὶ τἄλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρασχὼν ἑαυτόν, ἅτε καὶ τοῦ καθ' ἡμῶν πολέμου ἔξω γενόμενος, καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς, ἀβλαβεῖς καὶ ἀνεπηρεάστους διαφυλάξας· καὶ μήτε τοὺς οἴκους τῶν ἐκκλησιῶν καθελών, μήθ' ἕτερόν τι μηδ' ὅλως καθ' ἡμῶν ἐπικαινουργήσας· τέλος εὔδαιμον καὶ τρισμακάριον ὄντως κατείληφε τοῦ βίου. μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς, καὶ

*In quibusdam exemplaribus hoc quasi supplementum libri octavi reperitur.*

Verùm auctor hujus edicti post hujusmodi confessionem continuò vita simul ac doloribus liberatus est. Hunc primum miserandæ illius persecutionis auctorem fuisse ferunt: quippe qui diu ante reliquos Imperatores, Christianos qui in exercitu militabant, ac præsertim eos qui in palatio suo versabantur, per vim abducere à religione sua conatus sit: & alios quidem ab honore militiæ removerit, alios verò omni contumeliæ genere affecerit: quosdam etiam morte multarit: tandem deniq; collegas suos & Imperii consortes ad omnes ubique Christianos persequendos impulerit. Sed & cujusmodi vitæ exitus istis contigerit, nefas arbitror præterire. Cùm ergò quatuor Principes Imperium Romanum inter se partiti essent: duo quidem ex illis tum ætate tum honoris prærogativa potiores, nondum completo biennio post inchoatam persecutionem, Imperio cesserunt, quemadmodum à nobis superiùs declaratum est. Cumq; reliquum vitæ tempus privato ac plebejo habitu transegissent, hujusmodi exitum sortiti sunt. Alter quidem qui & ætatis & honoris privilegio reliquos omnes antecesserat, diuturno ac molestissimo morbo confectus. Alter qui secundus ab eo fuerat, laqueo vitam abrupit: juxta quoddam dæmonum vaticinium, hujusmodi supplicio meritò affectus ob quamplurima quæ admiserat scelera. Ex duobus autem reliquis, postremus quidem quem totius persecutionis ducem atque auctorem fuisse retulimus, ejusmodi dolores pertulit quos supra commemoravi. Ille verò qui gradu eum præcedebat, benignissimus & clementissimus Imperator Constantius: Qui toto Imperii sui tempore ita se gesserat, prout Imperatorem decebat; & qui tum erga reliquos omnes humanissimum se ac beneficentissimum præstiterat, tum persecutionis adversus nos concitatæ expers omninò fuerat, & cultores Dei sub ipsius Imperio degentes ab omni noxa & injuria immunes servaverat; ac neque Ecclesiarum ædificia subverterat, nec novi quidquam adversus nos statuerat; felicem & reverà beatissi-

mum vitæ exitum promeruit. Quippe A qui solus omnium in Imperio suo summa cum tranquillitate & gloria successorem relinquens proprium filium, modestissimum & religiosissimum Principem, ex hac luce migravit. Hujus autem filius Constantinus ab ipso statim exordio supremus Imperator & Augustus à militibus renuntiatus, paternæ erga fidem nostram pietatis æmulatorem se præstitit. Hujusmodi exitum vitæ quatuor supradicti Imperatores diversis temporibus sortiti sunt. Ex quibus solus ille quem supra memoravimus, unà cum aliis qui nuper in consortium Imperii adsciti fuerant, B confessionem illam quam supra retulimus, edicto palam proposito omnibus publicavit.

ἐπιδόξως, ἐπὶ διαδόχῳ τῆς βασιλείας γν[ησ]ίῳ παιδὶ τὰ πάντα σωφρονεστάτῳ καὶ εὐσεβεστάτῳ τελευτήσας· ὃς εὐθὺς ἀρχόμενος, βασιλεὺς τελεώτατος καὶ Σεβαστὸς πρὸς τῶν στρατοπέδων ἀναγορευθεὶς, ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. τοιαύτη τῶν προαναγεγραμμένων τεσσάρων ἡ τοῦ βίου ἔκβασις, κατὰ παρηλλαγμένους χρόνους γεγενημένη. τούτων δὴ μόνος [ὁ] λιπὼν ὁ μικρῷ πρόσθεν ἡμῖν εἰρημένος, σὺν τοῖς μετὰ ταῦτα εἰς τὴν ἀρχὴν εἰσποιηθεῖσι, τὴν προδεδηλωμένην ἐξομολόγησιν, διὰ τοῦ προεκτεθέντος ἐγγράφου λόγου τοῖς πᾶσι φανερὰν κατεστήσατο.

---

*Hæc quoque in quodam exemplari reperimus in libro octavo.*

Anno Imperii Diocletiani nono ac decimo, mense Xanthico quem Romani Aprilem vocant, Flaviano provinciam Palæstinam regente; cùm salutaris Passionis dies immineret, repentè C proposita sunt ubiq; edicta, quibus imperabatur Ecclesias quidem solo æquari, sacros autem Codices flammis absumi: & honoratos quidem honoris prærogativa spoliari, plebejos autem & in ministerio constitutos libertate privari, si in Christianæ religionis proposito adhuc permanerent. Et primi quidem adversus nos edicti hujusmodi fuit sententia. Sed non multò post allatæ sunt aliæ literæ, quibus jubebatur ut omnes ubique Ecclesiarum Antistites primùm quidem conjicerentur in vincula; postea verò ad sacrificandum omnibus modis cogerentur.

Καὶ ταῦτα ἔν τινι ἀντιγράφῳ ἐν τῷ ὀγδ[όῳ] τόμῳ εὕρομεν.

Ἔτος τοῦτο ἦν ἐννεακαιδέκατον τῆς Διοκλητιανοῦ βασιλείας. Ξανθικὸς μὴν, ὃς λέγοιτ' ἂν Ἀπρίλλιος κατὰ Ῥωμαίους, ἐν ᾧ τῆς σωτηρίου πάθους ἑορτῆς ἐπιλαμβανούσης, ἡγεμὼν Φλαβιανὸς ἦν τῶν Παλαιστινῶν ἔθνους, ἡπλωτο δ' ἀθρόως πανταχοῦ γράμματα, τὰς μὲν ἐκκλησίας εἰς ἔδαφος φέρειν, τὰς δὲ γραφὰς ἀφανεῖς πυρὶ γενέσθαι προστάττοντα. καὶ τοὺς μὲν τιμῆς ἐπειλημμένους ἀτίμους, τοὺς δ' [ἐν] οἰκετίαις, εἰ ἐπιμένοιεν τῇ τοῦ χριστιανισμοῦ προθέσει, ἐλευθερίας στερίσκεσθαι προαγορεύοντα. καὶ ἡ μὲν τῆς πρώτης καθ' ἡμῶν γραφῆς τοιαύτη τις ἦν δύναμις. μετ' οὐ πολὺ δὲ ἑτέρων ἐπιφοιτησάντων γραμμάτων, προσετάττετο D τοὺς τῶν ἐκκλησιῶν προέδρους πάντας πανταχοῦ πρῶτον μὲν δεσμοῖς παραδίδοσθαι. εἶθ' ὕστερον πάσῃ μηχανῇ θύειν ἐξαναγκάζεσθαι.

---

## Caput I.

*De Procopio, Alpheo & Zaccheo martyribus.*

Igitur ex Palæstinæ martyribus primus Procopius, antequàm carceris periculum fecisset, statim à primo quod ajunt limine ad Præsidis tribunal adductus, & sacrificare Diis gentilium jussus, unum se Deum nosse respondit, cui sacrificandum esset eo ritu quem ipse statuisset. Cùm verò quatuor etiam Imperatoribus libare juberetur, sententiam

Πρῶτος τοιγαροῦν τῶν ἐπὶ Παλαιστ[ίνης] μαρτύρων Προκόπιος πρὶν ἢ φυλακῆς πεῖραν λαβεῖν, εὐθὺς ἀπὸ πρώτης εἰσόδου τοῖς ἡγεμονικοῖς παραστὰς δικαστηρίοις, θύειν τοῖς λεγομένοις προσταχθεὶς θεοῖς, ἕνα μόνον ἔφησεν εἰδέναι, ᾧ καθῆκεν ὡς αὐτὸς βούλεται θύειν. ὡς δὲ καὶ τοῖς βασιλεῦσι τέσσαρσι σπένδειν

ἐκελεύετο ῥῆμά τι φθεγξάμενος τῶν οὐ προσηκόντων αὐτοῖς αὐτίκα τὴν κεφαλὴν ἀποτέμνεται, τὸ ποιητικὸν εἰπὼν ἐκεῖνο. οὐκ ἀγαθὸν πολυκοιρανίη. εἷς κοίρανος ἔστω, εἷς βασιλεύς· Δεσίου μηνὸς ὀγδόῃ, πρὸ ἑπτὰ εἰδῶν Ἰουνίων λέγοιτ' ἂν παρὰ Ῥωμαίοις, ἡμέρᾳ τετράδι σαββάτου τοῦτο πρῶτον ἐπὶ Καισαρείας τῆς Παλαιστίνης ἀποτελεῖται σημεῖον. μετὰ δὲ τοῦτο ἐπὶ τῆς αὐτῆς πόλεως πλεῖστοι ὅσοι τῶν ἐπιχωρίων ἐκκλησιῶν ἄρχοντες, δειναῖς αἰκίαις προθύμως διαθλήσαντες, μεγάλων ἀγώνων ἱστορίαν τοῖς ἐνορῶσιν ἐνεδείξαντο· ἄλλοι δὲ ὑπὸ δειλίας τὴν ψυχὴν προναρκήσαντες, προχείρως οὕτως ἀπὸ πρώτης ἐξησθένησαν προσβολῆς· τῶν δὲ λοιπῶν ἕκαστος, εἴδη διάφορα βασάνων διήλλαττον. τοτὲ μὲν μάστιξιν ἀνηρίθμοις, τοτὲ δὲ στρεβλώσεσι καὶ καταξάνσεσι τῶν πλευρῶν. δεσμοῖς τε ἀνυπομονήτοις, ὑφ' ὧν τισὶ καὶ παρεθῆναι συνέβη τὰς χεῖρας· ὅμως δ' οὖν ἔφερον τὸ ἀποβὰν ἀκολούθως τοῖς ἀπορρήτοις κρίμασι τοῦ θεοῦ τέλος. ὁ μὲν γὰρ ἑτέρων κατεχόντων αὐτοῦ τὼ χεῖρε, καὶ τῷ βωμῷ προσαγόντων, τήν τε μιαρὰν καὶ ἐναγῆ θυσίαν κατὰ τῆς δεξιᾶς ἐπιρριπτούντων, ὡς ἂν τεθυκὼς ἀπηλλάττετο· ὁ δὲ μηδ' ὅλως ἐφαψάμενος. εἰρηκότων δ' ἑτέρων ὅτι τεθύκοι, σιωπήσας ἀπῄει. ἄλλος ἡμιθανὴς αἰρόμενος, ὡς ἂν ἤδη νεκρὸς ἐρρίπτετο, καὶ ἀνίετό γε τῶν δεσμῶν, ἐν τεθυκόσιν αὐτοῖς λελογισμένος· ὁ δὲ βοῶν καὶ μαρτυρόμενος ὅτι μὴ πείθοιτο, κατὰ στόματος παιόμενος, πολυχειρίᾳ τε τῶν ἐπὶ τούτῳ τεταγμένων κατασιγαζόμενος, μετὰ βίας ἐξωθεῖτο καὶ εἰ μὴ τεθυκὼς ἦν. οὕτως ἐκ παντὸς τὸ δοκεῖν ἠνυκέναι, αὐτοῖς περὶ πολλοῦ ὑπῆρχεν. ἐκ δὴ οὖν τῶν τοσούτων, μόνοι τοῦ τῶν ἁγίων μαρτύρων κατηξιώθησαν στεφάνου, Ἀλφειὸς καὶ Ζακχαῖος· οἱ μετὰ μάστιγας καὶ ξεσμοὺς, δεσμά τε χαλεπὰ καὶ τὰς ἐπὶ τούτοις ἀλγηδόνας, ἑτέρας τε διαφόρους ἐξελάσεις, νυχθήμερον ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλου κενώματα τοὺς πόδας διαταθέντες, Δίου μηνὸς ἑπτακαιδεκάτῃ. αὕτη παρὰ Ῥωμαίοις ἡ πρὸ δεκαπέντε Καλανδῶν Δεκεμβρίων, μόνον ἕνα Θεὸν καὶ μόνον Χριστὸν βασιλέα Ἰησοῦν ὁμολογήσαντες, ὥς τι βλάσφημον φθεγξάμενοι, ὁμοίως τῷ προτέρῳ μάρτυρι τὰς κεφαλὰς ἀπετμήθησαν.

A quandam ex Homerico carmine prolocutus, quæ illis minimè arridebat,

*Haud bona res domini plures: herus unicus esto,*
*Rex unus.*

illicò capite truncatur die octavo mensis Desii, hoc est, ut Romani dicunt, ante diem septimum idus Junias, quarta feria hebdomadis. Hoc primum apud Cæsaream Palęstinę martyrium perpetratum est. Post hoc verò in eadem urbe quamplurimi Ecclesiarū illius provinciæ Antistites gravissima supplicia alacri animo perpessi, illustrium certaminum spe-
B ctacula exhibuerunt. Alii verò non pauci prę ignavia fracti animis ac debilitati, primo statim impetu conciderunt. Ex reliquis varia quisq; tormentorum genera expertus est. Hic flagris concisus: ille intolerabilibus tormentis & ungulis excruciatus, & vinculis oppressus; adeo ut quibusdam manus laxata nervorum compage resolutæ sint. Singuli tamen quęcunq; ipsis juxta arcanum Dei judicium eveniebant, fortiter tulêre. Alius enim, cùm quidam manus ejus apprehendissent, ipsumque ad aram adduxissent, & abominandum ac scelestum sa-
C crificium dextræ ipsius injecissent, quasi sacrificasset dimittebatur. Alius cùm ne summis quidem digitis thus attigisset, nonnullis tantum affirmantibus eum sacrificasse, silentio abscedebat. Hic semivivus correptus ac sublimis elatus, projiciebatur ut mortuus, & vinculis absolvebatur, cōputatus inter eos qui sacrificaverant. Ille vociferans atq; contestans se his quæ jubebantur minimè assentiri; pugnis ore contuso, plurimis ad hoc constitutis illum tacere cogentibus, per vim extrudebatur, tametsi haudquaquam sacrificasset. Adeò magni apud eos æstimabatur, si vel viderentur effecisse id quod voluerant. Ex istis
D igitur qui tot numero erāt, soli Alpheus & Zacchæus martyrii coronam adepti sunt. Qui post flagella & ungulas, post acerbissima vincula & dolores in iis exantlatos; post alia omnis generis tormēta, cùm viginti quatuor horarum spatio pedes in nervo ad quatuor usq; puncta distentos habuissent, unum Deum, unumque Regem ac Dominum Jesum Christum confessi; perinde ac si impiū quidpiam locuti essent, eodem quo primus ille martyr Procopius supplicii genere, abscissis capitib⁹ interiere, die septimo decimo mensis Dii, quod est apud Romanos ante diem xv. Cal. Decembris.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Caput II.

*De Romano martyre.*

A SEd & commemoratione digna sunt inprimis, quæ circa Romanum martyrem eodem die Antiochiæ gesta sunt. Hic enim genere Palæstinus, Cæsariensis Ecclesiæ Diaconus & Exorcista: eo ipso temporis articulo quo Ecclesiæ destruebantur Antiochiam ingressus: cum innumerabiles viros simul ac mulieres unà cum parvulis templa Deorum confertim adeuntes & sacrificantes vidisset, spectaculum id minimè tolerandum ratus, zelo divini cultus ipsum incitante propiùs accessit, & contenta voce inclamans obiurgare eos cœpit. Ob cuius facinoris audaciam illico comprehen- B sus, generoso, si quis unquam alius, martyrio decoratus est. Nam cùm Judex eum ignis supplicio addixisset, ille hilari vultu & admodum alacri animo sententiam excipiens, ad supplicium est abductus. Deinde alligatus ad stipitem, congestis undique lignis ac sarmentis, cum ministri qui rogum accensuri erant, Imperatoris tum fortè præsentis judicium exspectarent: Ubinam, inquit, mihi ignis? Quibus dictis accitus coram Imperatore sistitur, novo quodam supplicii genere plectendus, linguæ scilicet abscisione. Quod quidem supplicium cum fortissimè pertulisset, reipsa omni- C bus declaravit; iis qui quemlibet cruciatum pro pietate sustinent, semper præsto adesse divinam virtutem, quæ & dolores eorum imminuat, & animos ipsorum cõfirmet. Comperta igitur novitate supplicii nequaquam conterritus vir fortissimus, ultrò protendit linguam, promptissimè eam desecandam carnificibus præbens. Post quod supplicium contrusus in carcerem, ac diutissimè ibidem maceratus, tandem cùm Imperatoris vicennalia jam adessent, & ex solemni more universis qui in custodia te- D nebantur indulgentia publicè per præconem annuntiata esset, solus ad quatuor usq; puncta distentos habẽs pedes; in ipso jacens nervo, fractis laqueo faucibus, martyrio sicut optaverat exornatus est. Et hic quidem utpote Palęstinus, inter Palæstinenses martyres recenseri meretur, tametsi extra patriam passus sit. Hæc primo persecutionis anno in hunc modum gesta sunt, cùm adversus solos Ecclesiarum Præsides persecutorum immanitas desæviret.

Μνήμης δ' ἀξία τυγχάνει καὶ τὰ περὶ Ῥωμανὸν ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς αὐτῆς ἡμέρας ἀποτελεσθέντα. Παλαιστινὸς γὰρ οὗτος ὤν, διάκονός τε καὶ ἐπορκιστὴς τῆς ἐν Καισαρείᾳ παροικίας, ὁμοῦ τῇ τῶν ἐκκλησιῶν καθαιρέσει γενόμενος ἐκεῖσε, πλείους ἄνδρας ἅμα γυναιξὶ καὶ τέκνοις σωρηδὸν τοῖς εἰδώλοις προσιόντας καὶ θύοντας ἐνιδών, ἀνύποιστον ἡγησάμενος τὴν θέαν, ζήλῳ θεοσεβείας πρόσεισι. καὶ μεγάλῃ φωνῇ κεκραγὼς ἐπιπλήττει. αὐτὸς δὲ τῆς τόλμης ἕνεκεν συλληφθείς, γενναιότατος εἰ καί τις ἄλλος ἀποδέδεικται μάρτυς τῆς ἀληθείας. ἀποφηναμένου γὰρ κατ' αὐτοῦ τὸν διὰ πυρὸς θάνατον τοῦ δικαστοῦ, φαιδρῷ προσώπῳ καὶ διαθέσει εὖ μάλα προθυμοτάτῃ τὴν ἀπόφασιν ἀσπασίως καταδεξάμενος, ἀπάγεται. εἶτα τῷ ἰκρίῳ προσδεῖται. τῆς τε ὕλης συμφορημένης ἐπ' αὐτῷ, καὶ τῶν μελλόντων ὑφάπτειν τὴν πυράν, τῆς βασιλέως ἐπιπαρόντος ἀπόκρισιν ἐκδεχομένων, ποῦ μοι τὸ πῦρ; ἐβόα. ταῦτα λέγων, ἀνάκλητος πρὸς βασιλέα γίνεται. καινοτέρᾳ ὑποβληθησόμενος κολάσει τῆς γλώττης· ἧς ἀποκοπὴν ἀνδρειότατα ὑπομείνας, ἔργοις ἅπασιν ὑπέδειξεν. ὅπως ἡ θεία δύναμις τοῖς ὁτιποτοῦν χαλεπὸν ὑπὲρ εὐσεβείας ὑπομένουσιν ἐπελαφρίζουσα τοὺς πόνους, καὶ τὴν προθυμίαν ἐπιρρωννῦσα πάρεσται. μαθὼν γοῦν τὴν νεωτερίαν τῆς κολάσεως, μὴ καταπλαγεὶς ὁ γεννάδας, ἀσμένως προὔβαλε τὴν γλῶτταν, προθυμότατα εὐπρεπῶς παρέχων αὐτὴν τοῖς ἀποτέμνουσι. μεθ' ἣν τιμωρίαν εἰς δεσμὰ βληθείς, πλεῖστόν τε αὐτόθι ταλαιπωρηθεὶς χρόνον, τέλος τῆς ἀρχικῆς εἰκοσαετηρίδος ἐπιστάσης, κατὰ νομιζομένην δωρεὰν τῆς ἐν τοῖς δεσμοῖς πανταχῇ πάντων ἐλευθερίας ἀνακηρυχθείσης, μόνος ὑπὸ πέντε κεντημάτων ἀμφὼ τὼ πόδε διαταθείς, ἐν αὐτῷ κείμενος τῷ ξύλῳ, βρόχῳ περιβληθείς, ὡς καὶ ἐπεπόθει, μαρτυρίῳ κατεκοσμήθη. ἀλλ' οὗτός γε εἰ καὶ ὑπερόριος, ὅμως Παλαιστινὸς ὤν, ἐν Παλαιστινοῖς ἄξιος ἂν εἴη μάρτυσιν ἀριθμεῖσθαι. ταῦτα μὲν ἔτει πρώτῳ τοῦτον ἀπετελέσθη τὸν τρόπον, κατὰ μόνων τῶν τῆς ἐκκλησίας προέδρων ἐπηρτημένου τοῦ διωγμοῦ.

## Caput III.

*De Timotheo, Agapio, Thecla & aliis octo martyribus.*

Δευτέρου δ' ἔτους διαλαβόντος, καὶ δὴ σφοδρότερον ἐπιταθέντος τοῦ καθ' ἡμῶν πολέμου, τῆς ἐπαρχίας ἡγουμένου τηνικάδε Οὐρβανοῦ, γραμμάτων τοῦτο πρῶτον βασιλικῶν πεφοιτηκότων, ἐν οἷς καθολικῷ προστάγματι πάντας πανδημεὶ τοὺς κατὰ πόλιν θύειν τε καὶ σπένδειν τοῖς εἰδώλοις ἐκελεύετο, Τιμόθεος ἐν Γάζῃ πόλει τῆς Παλαιστίνης μυρίας ἀνατλὰς βασάνους, ἐπὶ πάσαις λεπτῷ καὶ μαλθακῷ πυρὶ παραδοθείς, δοκιμὴν γνησιωτάτην τῆς περὶ τὸ θεῖον γνησιωτάτης εὐσεβείας διὰ τῆς πρὸς πάντα ὑπομονῆς παρασχών, τὸν τῶν ἱερονίκων τῆς θεοσεβείας ἀθλητῶν στέφανον ἀπηνέγκατο. τούτῳ δ' ἅμα γενναιοτάτην ἔνστασιν ἐπιδειξάμενοι Ἀγάπιος καὶ ἡ καθ' ἡμᾶς Θέκλα, θηρίοις εἰς βορὰν κατεδικάσθησαν. τὰ ἐπὶ τούτοις τίς ἰδὼν οὐκ ἐθαύμασεν, ἢ καὶ ἀκοῇ μαθὼν οὐκ ἐξεπλάγη; πάνδημον γάρ τοι τῶν ἐθνῶν ἑορτὴν καὶ συνήθεις θέας ἀγόντων. μετὰ τῶν ἄλλως αὐτοῖς σπουδαζομένων, καὶ τοὺς ἀρτίως θηρίοις κατακριθέντας, πολὺς ἦν ὁ λόγος ἐπιδείξασθαι τὸν ἀγῶνα. αὐξούσης δῆτα καὶ πλεοναζούσης παρὰ πᾶσι τῆς φήμης, νεανίαι τὸν ἀριθμὸν ἕξ. ὧν ὁ μὲν Ποντικὸς τὸ γένος ἦν, ὄνομα Τιμόλαος· ὁ δ' ἐκ Τριπόλεως τῆς Φοινίκης, Διονύσιος ἐκαλεῖτο. ἕτερος δ' αὐτῶν τῆς ἐν Διοσπόλει παροικίας ὑποδιάκονος, Ῥωμύλος ἦν καὶ τούτῳ προσηγορία. δύο τε ἐπὶ τούτοις Αἰγύπτιοι, Πάησις καὶ Ἀλέξανδρος. καὶ ἄλλος τούτῳ συνώνυμος Ἀλέξανδρος τῶν ἀπὸ Γάζης. ἐπὶ τὸ κυνηγέσιον ὁμοῦ ἀνιέναι μέλλοντι τῷ Οὐρβανῷ, ἐνδήσαντες πρότερον τὰς αὑτῶν χεῖρας, ὡς ἂν τὴν ἄγαν σημήνειαν περὶ τὸ μαρτύριον προθυμίαν, δρομαῖοι προσίασι, Χριστιανοὺς σφᾶς ὁμολογοῦντες. διά τε τῆς πρὸς πάντα τὰ δεινὰ παρατάξεως, ὅτι μηδὲ τὰς τῶν θηρίων ἐπιβολὰς οἱ τὴν εἰς τὸν τῶν ὅλων Θεὸν εὐσέβειαν αὐχοῦντες καταπεπτήχασιν, ἐπιδεικνύμενοι. αὐτίκα μὲν εἰς οὐ τὴν τυχοῦσαν κατάπληξιν αὐτόν τε τὸν ἄρχοντα καὶ τοὺς ἀμφ' αὐτὸν καταστήσαντες, δεσμωτηρίῳ καθείργνυνται. μετ' οὐ πολλὰς δὲ ἡμέρας θύειν αὐτοῖς

A Secundo dehinc anno, cùm persecutionis adversus nos furor vehementiùs incaluisset, Urbano tunc provinciam regente, primùm Imperatoris missæ sunt literæ, quibus generali præcepto jubebatur ut omnes ubique locorum ac gentium, publicè idolis sacrificia ac libationes offerrent. Quo tempore Timotheus apud Gazam urbem Palæstinæ innumera perpessus tormenta, tandem tenui ac lento igne consumptus; cùm sinceræ erga Deum pietatis luculentissimum specimen edidisset, constanti in omnibus tolerantia, coronam martyrii reportavit. Agapius quoque & Thecla priscæ illi cognominis, cùm unà cum supradicto
B Timotheo ingentem animi constantiam ostendissent, damnati sunt ad bestias. Ea verò quæ postea subsecuta sunt, quis tandem non admiratus est cum videret, aut stupore non perculsus est cùm auditu acciperet? Nam cùm Gentiles publicam solemnitatem & consueta spectacula celebrarent, ingens omnium rumor erat, præter ceteros quos illi maximo favore prosequebantur, etiam Christianos illos qui nuper damnati fuerant, cum bestiis pugnaturos. Cumq; hujus rei fama passim apud
C omnes increbresceret, adolescentes numero sex, quorum unus natione Ponticus Timolaus vocabatur; alter Tripoli Phœnices urbe oriundus erat, Dionysius nomine; tertius Diospolitanæ Ecclesiæ Subdiaconus Romulus dicebatur; posthos Ægyptii duo Pausis & Alexander; postremò alter priori illi cognominis Alexander Gaza oriundus: Hi, inquam, omnes colligatis prius manibus, ut se ad subeundum martyrium promptos ac paratos ostenderent, contento cursu ad Urbanum qui tunc forte ad amphitheatrum profi-
D ciscebatur, advolarunt: se Christianos esse confitentes, palamque omnibus facientes præ fiducia animi adversus cuncta discrimina confirmati, eos qui veri Dei cultum profitentur, ne bestiarum quidem incursus formidare. Ac protinus quidē cùm & Præsidem ipsum & eos qui adstabant non mediocri admiratione perculissent, custodiæ mancipati sunt. Paucis autem post diebus,

cum alii duo ipsis accensiti essent, quorum alter Agapius nomine, jamdudum ante illos varia tormenta perpessus multis confessionibus inclaruerat; alter nomine Dionysius res ipsis ad corporis usum necessarias subministrabat: octo omnes uno eodemque die in urbe Cæsarea præcisis capitibus interierunt, die vicesima quarta mensis Dystri, hoc est, ante diem nonum Calendas Apriles. Per idem tempus duo Imperatores, quorum alter primum Imperii gradum, alter secundum ab eo locum obtinebat, depositо imperiali cultu privatum habitum induerunt: & malè habere iterũ cœpit Respublica. Nec multò post discisso in partes Imperio Romano, bellum inexpiabile inter ipsos Romanos exarsit. Nec discidium ac tumultus qui postea subsecutus est, ante sedari potuit, quàm per universum orbem Romanum pax Christianis reddita esset. Nam simulatque ea pax quasi lux quædam post obscuræ ac tenebrosæ noctis caliginem cunctis affulsit, confestim Respublica Romana in pristinam stabilitatem & concordiam ac quietem iterum restituta est; cunctis mutuam inter se benevolentiam quam à majoribus traditam acceperant, quasi postliminio recuperantibus. Verùm hæc suo loco ac tempore uberiùs exponentur. Nunc narrationis nostræ seriem prosequamur.

A ἄλλων καταλεχθέντων, ὧν ὁ μὲν καὶ πρὸ αὐτῶν
δειναῖς καὶ ποικίλαις ἤδη πρότερον καθ' ἑτέρας
ὁμολογίας ἐναθλήσας βασάνοις, Ἀγάπιος καὶ αὐτῷ ὄνομα ἦν. τοῦ δὲ τὰς τοῦ σώματος αὐτοῖς χρείας διακονουμένου, ὄνομα δὲ καὶ τούτῳ Διονύσιος. οἱ πάντες ὀκτὼ γενόμενοι τὸν ἀριθμὸν, ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς αὐτῆς ἐπ' αὐτῆς Καισαρείας ἀποτέμνονται, Δύστρου μηνὸς ἡμέρᾳ τετράδι καὶ εἰκάδι, ἡ πρὸ ἐννέα Καλανδῶν Ἀπριλλίων. καὶ αὐτὴ οὖσα ἐτύγχανεν ἐν
B τούτῳ μεταβολή τις τῶν κρατούντων, αὐτοῦ ὁ ἐπὶ πάντων ἀνωτάτω, καὶ ὁ μετ' αὐτὸν δευτερεύων, τὸ ἰδιωτικὸν σχῆμα γίνεται. νοσεῖν τε αὐτίκα ἄρχεται τὰ κοινά. μικρὸν δ' ὕστερον διαστάσης εἰς ἑαυτὴν τῆς Ῥωμαίων ἀρχῆς, πόλεμος ἄσπονδος εἰς αὐτοὺς ἐπεγείρεται. οὐ πρότερον τε τὰ τῆς διαστάσεως καὶ τῶν ἐπὶ ταύτῃ θορύβων κατάστασιν εἴληφεν, ἢ τὴν καθ' ἡμᾶς εἰρήνην καθ' ὅλης πρυτανευθῆναι τῆς ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν οἰκουμένης. ἅμα τε γὰρ αὕτη τοῖς πᾶσι δίκην φωτὸς, ὡς ἂν ἐκ ζοφερᾶς καὶ σκοτεινοτάτης νυκτὸς ἀνατέταλκε, καὶ αὖ πάλιν τὰ κοινὰ τῆς Ῥωμαίων ἡγεμονίας, αὖθις εὐσταθῆ καὶ φί-
C λια καὶ εἰρηναῖα ἦν, τὴν ἐκ προγόνων εἰς ἀλλήλους εὔνοιαν ἀπολαμβάνοντα. ἀλλὰ τούτων μὲν κατὰ τὸν προσήκοντα καιρὸν ἐντελέστερον ἀποδώσομεν τὸν λόγον· νυνὶ δὲ ἐπὶ τὴν τῶν ἑξῆς ἀπίωμεν ἀκολουθίαν.

---

## Caput IV.

*De Apphiano martyre.*

MAximinus Cæsar ex eo tempore ad Imperium evectus, quasi qui odii in Deum & impietatis sibi innatæ insignia ostentare vellet, violentiùs quàm superiores Principes persecutioni nostrorum incubuit. Cùm igitur omnes graviter perturbati hac illac dispergerentur, & periculum effugere unusquisque omni ope laboraret, maximusque tumultus cunctas provincias occupasset, qua tandem oratione divini amoris ardorem plenamque fiduciæ confessionem beati ac reverà innocentis oviculæ Apphiani martyris pro merito poterimus exponere? Qui quidem ad portas urbis Cæsareæ, admirabile exemplum sinceræ erga verum Deum pietatis cunctis illius incolis spectandum præbuit;

MΑξιμῖνος Καῖσαρ αὐτόθεν ἐπὶ τὴν ἀρχὴν παρελθὼν, ὥσπερ τῆς ἐμφύτου θεοεχθρίας αὐτοῦ καὶ δυσσεβείας τὰ σύμβολα τοῖς
D πᾶσιν ἐνδεικνύμενος, γεννικώτερον ἢ οἱ πρόσθεν τῷ καθ' ἡμῶν ἐπαπεδύετο διωγμῷ. πολλῆς δῆτα συγχύσεως οὐ μικρᾶς ἐπηωρημένης, ἄλλων ἄλλοσε διασπειρομένων, διαδρᾶναι τε τὸ δεινὸν, ἐπιμελὲς ποιουμένων, χαλεπῆς τε τὸ πᾶν ἐπεχούσης κινήσεως, τίς ἂν ἐξαρκέσειεν ἡμῖν λόγος, εἰς τὴν ἐπαξίαν διήγησιν τοῦ θείου ἔρωτος, καὶ παρρησίας τῆς εἰς Θεὸν ὁμολογίας, τοῦ μακαρίου καὶ ὡς ἀληθῶς ἀμνοῦ ἀκάκου, μάρτυρος Ἀπφιανοῦ φημι, τῶν πρὸ πυλῶν ἐπὶ θεωρίαν ἅπασι τοῖς κατὰ Καισάρειαν, θαυμαστὸν παράδειγμα τῆς εἰς τὸν μόνον Θεὸν εὐσεβείας προβεβλημένου. εἴκοσι οὐδ' ἔτος οὔ

πω ἔτος τῆς τοῦ σώματος ἡλικίας ἦν αὐτῷ πρῶτον μὲν οὖν τῆς ἑλλήνων παιδείας ἕνεκα κοσμικῆς. ἐτύγχανε γὰρ καὶ τῶν κατὰ κόσμον οὐ μάλα πλείστῳ προφερομένων, τὸν πλείονα κατὰ τὴν Βηρυτὸν διατρίψας χρόνον, παράδοξον καὶ εἰπεῖν ὡς ἐν τοιαύτῃ πόλει τῶν νεωτερικῶν ἐπιθυμιῶν ὑπεράνω γενόμενος. καὶ μὴ θ' ὑπὸ ἀκμῆς τοῦ σώματος, μὴ θ' ὑπὸ τῆς τῶν νέων ἑταιρείας διαφθαρεὶς τὸν τρόπον, σωφροσύνην ἠσπάζετο. κοσμίως καὶ σεμνῶς καὶ εὐσεβῶς κατὰ τὸν αἱροῦντα χριστιανισμῷ λόγον διεξάγων, καὶ τὸν ἑαυτοῦ παιδαγωγῶν βίον. εἰ δὲ χρὴ μνήμην ποιησαμένους καὶ τῆς πατρίδος αὐτοῦ, κοσμῆσαι καὶ ταύτην διὰ τοῦ προαχθέντος ἐξ αὐτῆς γενναίου τῆς θεοσεβείας ἀθλητοῦ. εὐλόγως ἂν καὶ τοῦτο ποιήσαιμεν. εἴ τις ἄρα Παγὰς ἐπίσταται τῆς Λυκίας οὐκ ἄσημον πόλιν. ἐντεῦθεν ὁρμώμενος ὁ νεανίας, μετὰ τὴν ἐπάνοδον τῆς κατὰ τὴν Βηρυτὸν παιδείας, τοῦ πατρὸς αὐτῷ τὰ πρωτεῖα τῆς πατρίδος ἀποφερομένου, μὴ οἷός τε φέρειν τὴν ἅμα τῷ πατρὶ καὶ τοῖς τῷ γένει προσήκουσι συνουσίαν, ὅτι μὴ δὲ ζῆν αὐτοῖς ἐδόκει κατὰ τοὺς τῆς θεοσεβείας θεσμούς. πνεύματι δ' ὥσπερ θείῳ κατεχόμενος, καὶ κατά τινα φυσικήν, μᾶλλον δ' ἔνθεον καὶ ἀληθῆ φιλοσοφίαν, μεῖζον φρονήσας τῆς νενομισμένης τοῦ βίου δόξης, τῆς τε τῶν σωμάτων καταπτύσας ἡδυπαθείας, κρύβδην τοὺς οἰκείους ἀποδράς. καὶ μὴ δὲ τῶν ἐφημέρων δαπανῶν ἐπιστραφεὶς ἐλπίδι καὶ πίστει τῇ εἰς Θεόν, ἤγετο πρὸς τοῦ θείου πνεύματος χειραγωγούμενος ἐπὶ τὴν Καισαρέων πόλιν. ἔνθα ἡτοίμαστο αὐτῷ ὁ τοῦ μαρτυρίου τῆς θεοσεβείας στέφανος. γενόμενος δὲ ἡμῖν αὐτοῖς ἅμα. καὶ ὡς ἔνι μάλιστα τοῖς θείοις λόγοις ἐπ' ὀλίγον συλλεξάμενος, ἀσκήσεσί τε προσηκούσαις ἐκθυμότατα παρασκευασάμενος. τέλος οἷον ἐπιδέδεικται, τίς μὲν πάλιν ἰδὼν οὐ καταπλάγῃ; τίς δ' αὖθις ἀκοῇ παραλαβὼν, οὐκ ἂν ἐνδίκως θαυμάσειε τὸ θάρσος τὴν παρρησίαν τὴν ἔνστασιν καὶ πρό γε τούτων, τὴν τόλμαν καὶ αὐτὸ τὸ ἐγχείρημα, ζήλου θεοσεβείας καὶ πνεύματος ὡς ἀληθῶς ὑπὲρ ἄνθρωπον παρέχοντα τεκμήρια. δευτέρας γάρ τοι καθ' ἡμῶν γενομένης ἐπαναστάσεως ὑπὸ Μαξιμίνου, τρίτῳ τοῦ καθ' ἡμᾶς ἔτει διωγμοῦ, γραμμάτων τε τοῦ τυράννου τοῦτο πρῶτον διαπεφοιτηκότων, ὡς ἂν πανδημεὶ πάντες ἁπαξαπλῶς μετ' ἐπιμελείας

A idque nondum viginti annos natus. Ac prius quidem cùm sæcularium disciplinarum causâ, utpote parentibus ortus locupletissimis, plurimum temporis Beryti esset commoratus, incredibile dictu est quo pacto in ea civitate calcatis adolescentiæ cupiditatibus, nec vigore corporis, nec sodalium consuetudine corrumpi se passus, modestiam amplexatus sit; honestè, sobriè ac piè ex præcepto Christianismi degens, moresque suos moderans atque castigans. Quod si patriam quoque ejus commemorare convenit, eamque
B urbem ex qua tam generosus religionis nostræ ortus est pugil debito præconio exornare; equidem id faciam libentissimè. Si quis ergo Pagas novit urbem Lyciæ non obscuram, inde oriundus fuit nobilis adolescens. Qui quidem reversus postea à Berytensibus studiis; cùm pater ipsius principem locum domi obtineret, ipse nihilominus cum patre & propinquis suis versari non sustinuit, eò quòd illi ex divinæ religionis præceptis vitam agere recusarent. Sed divino quodam
C spiritu afflatus, & præ innato Philosophiæ studio seu potius cælestis ac veræ sapientiæ amore, vanam hujus sæculi gloriam & corporis voluptates despiciens, clam domo aufugit. Ac ne quidem de sumptu ad diurnum victum necessario sollicitus, ob spem ac fiduciam quam in Deo collocaverat; prævio & quasi manu ipsum ducente Spiritu Sancto, Cæsaream pervenit, ubi corona martyrii ipsum manebat. Ibi nobiscum versatus, cùm ex sacrarum literarum lectione quantum fieri potuit brevissimo illo tempore fructus sibi collegisset, & congrua arctioris abstinentiæ exercitatione semet
D roborasset, tandem ejusmodi exitu inclaruit, quem quisquis visu accepit, fieri nullo modo potest quin simul obstupuerit. Quisquis verò auditione tantum acceperit, admiretur necesse est adolescentis fiduciam, libertatem, constantiam & ante omnia consilii ac propositi ipsius audaciam. Quæ quidem zeli divinæ religionis & divini cujusdam Spiritus argumenta sunt certissima. Nam cùm Maximinus secundum adversus nostros bellum excitasset, anno tertio persecutionis Diocletiani; & per omnes provincias missa essent tyranni edicta, quibus Rectores



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

jubebantur operam dare, ut omnes omnium urbium incolæ Diis publice sacrificarent: cumque præcones per universam Cæsaream cunctos patresfamilias ad dæmonum templa jussu Præsidis evocarent; ac præterea Tribuni militum singulos ex tabella nominatim citarent; omnibus ubique locorum Christianis inexplicabili malorum turbine concussis, hic quem supra nominavimus, nemini communicato consilio, clam nobis qui in eadem domo degebamus; clam universa militum cohorte qui circa Præsidem stabant, ad Urbanum tunc forte libantem intrepidus accessit. Fidentique animo comprehensa ejus dextra, evestigio quidem sacrificium omittere ipsum coëgit. Mox instar prudentissimi monitoris, cum divina quadam gravitate hortari eum cœpit ut ab errore desisteret. Quippe absurdum esse, ut posthabito veri ac solius Dei Numine, simulacris ac dæmonibus homines sacra faciant. Id autem ut verisimile est, agebat fortissimus juvenis divina quadam virtute quæ ipsum ad hoc impulerat, omnibus (ut ita dicam) inclamante ac denuntiante per hoc facinus; tantum abesse ut Christiani qui quidem eo nomine digni essent, ab eo quem semel imbibissent divini Numinis cultu unquam abducerentur; quin potius minis, & his qui minas subsequi solent cruciatibus adeò illos superiores esse, ut adhuc eò liberiùs inposterum loquantur, & ingenua atque intrepida voce veritatem prædicent, ipsosque etiam, si fieri possit, persecutores suos hortentur, ut abjecto impietatis errore, eum qui solus Deus est agnoscant. Posthæc supradictus juvenis, inpræsentia quidem utpote tam audaci perpetrato facinore, à militibus qui Præsidi apparebant, tanquam à feris bestiis discerptus, & innumera verbera toto corpore fortissimè perpessus, in carcerem conjicitur. Ubi cùm noctis ac diei unius spatio pedibus in nervo distentis mansisset, postero die in judicium adducitur. Compulsus deinde à Judice Diis sacrificare, invictam adversus ærumnas & quantumvis horrendos dolores constantiam animi declaravit; lateribus non semel sed iterum ac sæpius ad ipsa usque ossa & viscera sulcatis; totque plumbatarum ictibus in os ac cervicem verberatus, ut contusa ac tumefacta facie, ne ab illis quidem qui eum optimè norant agnosceretur.

A καὶ σπουδῆς τῶν κατὰ πόλεις ἀρχόντων, δια-
κηρύκων τε καθ' ὅλης τῆς Καισαρέων πόλεως ἄν-
δρας ἅμα γυναιξὶ καὶ τέκνοις ἐπὶ τοὺς τῶν εἰ-
δώλων οἴκους ἐξ ἡγεμονικοῦ κελεύσματος ἀνα-
βοωμένων. καὶ πρὸς τούτοις, ὀνομαστὶ χιλιάρχων
ἀπὸ γραφῆς ἕκαστον ἀνακαλουμένων. ἀθρό-
ῳ τε κλύδωνι κακῶν τῶν πανταχόσε συγκε-
χυμένων, ἀφόβως ὁ δεδηλωμένος, μηδενὸς
ἐπὶ τῷ πραχθησομένῳ συνειδότος αὐτῷ, ἡμῶν
τε οἱ κατ' οἶκον αὐτῷ συνῆμεν, καὶ ἐπ' αὐτῆς τῆς
B περὶ τὸν ἡγεμόνα στρατιωτικὸν εἶφος ὑπο-
ψας, σπένδοντι τῷ Οὐρβανῷ προσέεισι, καὶ τῆς
δεξιᾶς ἀκαταπλήκτως αὐτὸν λαβόμενος, κα-
τέπαυσε μὲν παραχρῆμα τοῦ θύειν. εὖ μάλα
συμβουλευτικῶς μετά τινος θείου παραστήμα-
τος παρῄνει, παύσασθαι τῆς πλάνης. μὴ γὰρ εὐ-
λόγως ἔχειν καταλιπόντας τὸν ἕνα καὶ μόνον ἀλη-
θῆ Θεὸν, εἰδώλοις καὶ δαίμοσι θύειν. τοῦτο δ'
ὡς ἔοικεν, ἐνεχειρεῖτο τῷ μειρακίῳ, τῆς δι
τοῦτ' αὐτὸν προαγούσης ἐνθέου δυνάμεως μο-
νονουχὶ βοώσης διὰ τοῦ γινομένου. ὡς ἄρα τοι-
C σοῦτον ἀποδέοιεν Χριστιανοὶ οἵ γε ὄντως τοιοῦτοι,
ἧς ἅπαξ ἠξιώθησαν εἰς τὸν τῶν ὅλων Θεὸν εὐ-
σεβείας μεταβάλλεσθαι, ὡς μὴ μόνον ὑπερά-
νω καθίστασθαι τῶν ἀπειλῶν καὶ τῶν ἐπ' αὐ-
ταῖς κολαστηρίων, παρρησιάζεσθαι δ' ἔτι
μᾶλλον, εὐγενεῖ τε καὶ ἀτρόμῳ γλώττῃ ἐλευ-
θεροστομεῖν, καὶ εἰ οἷόν τε καὶ τοὺς διώκοντας
αὐτοὺς μεταθεμένους τῆς ἀγνωσίας, τὸν μόνον
ὄντα Θεὸν ἐπιγνῶναι παρακαλεῖν. ἐπὶ τούτοις
ὁ περὶ οὗ ὁ λόγος, παραχρῆμα μὲν ὅσα εἰκὸς
αὐτὸν, ὡς ἂν ἐπὶ τοιούτῳ τολμήματι θηρῶν δί-
κην ἀγρίων πρὸς τῶν ἀμφὶ τὸν ἡγεμόνα δια-
D σπαραχθεὶς, καὶ μυρίας καθ' ὅλου τοῦ σώμα-
τος πληγὰς ἀνδρειότατα ὑπομείνας, τῷ
μὲν αὐτίκα δεσμωτηρίῳ παραδίδοται. ἔνθα
νυχθήμερον ἄμφω τὼ πόδε ἐπὶ τοῦ βασαν-
ιστικοῦ διαταθεὶς ξύλου, τῇ ἐπιούσῃ προσάγε-
ται τῷ δικαστῇ. εἶτα θύειν ἐκβιαζόμενος, πᾶ-
σαν ἐνδείκνυται πρὸς πόνους καὶ φρικτὰς
ἀλγηδόνας καρτερίαν. τὰς πλευρὰς οὐχ
ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ καὶ πλεονάκις
ἄχρις ὀστέων καὶ αὐτῶν σπλάγχνων κατα-
ξανθεὶς. πληγάς τε κατὰ προσώπου καὶ αὐ-
χένος τοσαύτας δεξάμενος, ὡς μὴ δ' ὑπὸ
τῶν εὖ καὶ ἀκριβῶς αὐτὸν πάλαι εἰδότων,
διοιδήσαντα τὸ πρόσωπον, ἐπιγνώσκεσθαι.

ἀλλὰ γὰρ μηδὲ πρὸς τὰ τοσαῦτα ἐνδιδόντος, λίνοις ἐλαίῳ δεδευμένοις τὼ πόδε αὐτοῦ καλύψαντες, πῦρ ὑφῆπτον ἐκ προστάξεως οἱ βασανισταί· ἐφ' οἷς ὁποίας ἐνήνεγκεν ὁ μακάριος ἀλγηδόνας, πάντα λόγον ὑπερβαίνειν μοι δοκῶ. καθίκετο γοῦν αὐτοῦ διατῆξαν τὰς σάρκας, καὶ τῶν ὀστέων τὸ πῦρ. ὡς κηροῦ δίκην λείβεσθαι καὶ ἀποστάζειν ἐκτηκομένην τὴν ἰκμάδα τοῦ σώματος. ἀλλὰ γὰρ οὐδὲ πρὸς ταῦτα ἐνδοὺς, ἡττημένων ἤδη καὶ μονονουχὶ ἀπειρηκότων πρὸς τὴν ὑπὲρ ἄνθρωπον καρτερίαν αὐτοῦ τῶν ἀντιπάλων, αὖθις δεσμοῖς εἴργνυται. τριταῖός τε αὖ προσαχθεὶς τῷ δικαστῇ καὶ τὴν αὐτὴν ὁμολογήσας πρόθεσιν, καίτοι γε λοιπὸν ἡμιθνὴς ὑπάρχων, ὑποβρύχιος θαλάττῃ παραδίδοται. τὰ δ' ἐπὶ τούτοις παραχρῆμα γινόμενα, ῥηθέντα μὲν οὐκ ἀπεικὸς παρ' ἄλλοις μὴ ὄψει παρειληφόσιν ἀπιστηθήσεσθαι· ἡμᾶς δ' οὖν καὶ περὶ τοῦτ' ἀκριβῶς εἰδότας, οὐχ αἱρεῖ λόγος μὴ οὐχὶ ἐκ παντὸς παραδοῦναι τῷ λόγῳ τὴν ἱστορίαν, τῷ καὶ μάρτυρας εἶναι τοῦ γεγενημένου ἁπλῶς εἰπεῖν ἅπαντας τοὺς τὴν Καισάρειαν οἰκοῦντας. οὐδεμία γοῦν ἡλικία τῆς παραδόξου ταύτης ἀπελείφθη θέας. αὐτίκα γοῦν ὡς ἐδόκει μάλιστα κατὰ μέσου πελάγους ἐν ἀπείροις βυθοῖς τὸν ἱερὸν ὄντως ἐκεῖνον καὶ τρισμακάριον ἐμβαλεῖν, κλόνος ἀθρόως οὐχ ὁ τυχὼν καὶ βρασμὸς αὐτήν τε τὴν θάλασσαν καὶ τὸ περιέχον ἅπαν διαχεῖ. ὡς καὶ τὴν γῆν καὶ τὴν πόλιν ἅπασαν πρὸς τοῦ γινομένου σεισθῆναι. ἅμα δὲ τῷ παραδοξοτάτῳ τε ἀθρόῳ σεισμῷ, τοῦ θείου μάρτυρος τὸν νεκρὸν ἡ θάλαττα, ὥσπερ μὴ οἵα τε οὖσα φέρειν αὐτὸν, πρὸ τῶν τῆς πόλεως ἐκβράσσει πυλῶν. καὶ τοιαῦτα μὲν ἦν τὰ κατὰ τὸν θεσπέσιον Ἀπφιανὸν, Ξανθικοῦ μηνὸς δευτέρᾳ, ἥτις ἂν εἴη πρὸ τεσσάρων νώννων Ἀπριλλίων, ἡμέρα παρασκευῆς τελειωθέντα.

A Verùm cùm ille tantis doloribus nullatenus cederet, tortores jussu Præsidis linum oleo madefactum pedibus ejus circumponentes, ignem postea subjecerunt. Quo facto quantos beatissimus martyr dolores persenserit, nulla ut arbitror oratione explicari potest. Ignis siquidem consumptis ejus carnibus ad ossa usque penetrabat: adeo ut universus humor corporis ceræ instar liquefactus stillatim diffluerent. Sed neque his cruciatibus superatus, licet jam victis & ob portentosam ejus fortitudinem animo despondentibus adversariis, rursus B in vincula compingitur. Dehinc tertio post die judici oblatus, eandemque fidei constantiam professus, licet semivivus, in profundum mare demersus est. Ea verò quæ continuò subsecuta sunt, illis fortasse si retulero, incredibilia videbuntur qui oculis suis hæc minimè viderunt. Verùm tametsi id procul dubio eventurum intelligam, facere nullo modo possum, quin rem gestam posterorum memoriæ commendem: quippe cum universi propemodum incolæ urbis Cæsareæ testes huius miraculi exstiterint. Nulla certè ætas C tam stupendæ rei spectaculo non interfuit. Postquam igitur sanctissimum illum ac beatissimum juvenem medio mari in altissimum, ut ipsis videbatur, gurgitem submerserunt, repentè tantus motus tantusque fragor non solum mare verùm etiam cælum omne concussit, ut terra quoque & ipsa Cæsariensium civitas eo motu quateretur. Eodemque temporis momento quo repentinus ille ac mirabilis terræ motus acciderat, divini martyris cadaver, utpote quod marini fluctus continere non poterant, ab iisdem ante portas ci- D vitatis ejectum est. Hujusmodi fuit exitus admirandi Apphiani die secundo mensis Xanthici, quod est ante diem quartum nonas Apriles, feria sexta.

## Caput V.

*De Vipiano & Ædesio martyribus.*

Ὑπὸ δὴ τὸν αὐτὸν καιρὸν, αὐταῖς τε ἡμέραις, ἐπὶ τῆς Τυρίων πόλεως νεανίας Οὐλπιανὸς ὄνομα, μετὰ δεινὰς καὶ αὐτὸς αἰκίας, μάστιγάς τε χαλεπωτάτας, ἅμα κυνὶ καὶ ἀσπίδι τῷ ἰοβόλῳ ἑρπετῷ ὠμοβοΐνῃ περιβληθεὶς δορᾷ, θαλάττῃ παραδίδοται. διό μοι δοκεῖ ἐν τοῖς Ἀπφιανοῦ

Per idem tempus iisdemque pæne dieb⁹ in urbe Tyro adolescens quidam Ulpianus nomine, post crudeles plagas & acerbissima flagrorum verbera, unà cum cane & aspide in culeum ex crudo bovis corio insutus, in mare præcipitatus est. Proinde cum Apphiani



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

martyrio jure merito hic à nobis commemorandus videtur. Aliquanto post tempore Ædesius, tam secundùm Deum quàm juxta carnem Apphiani frater germanus, germana cum illo perpessus est. Quippe post innumerabiles confessiones; post diuturnos carceris & vinculorum cruciatus; post Præsidum sententias quibus ad metalla Palæstinæ fuerat condemnatus; post vitæ rationem planè Philosophicam quam in pallio Philosophico agens perpetuò traduxerat: longiùs enim quam frater in disciplinis processerat, utpote qui operam dedisset Philosophiæ: tandem apud Alexandriam cùm Judicem qui de Christianis quæstionem habebat, supra modum debacchantem atque insultantem vidisset; & nunc quidem viros graves variis afficientem contumeliis: nunc mulieres eximia castitate præditas atque etiam virgines Deo devotas lenonibus ad omne genus turpitudinis dedentem, idem ac frater facere conatus est. Cùm enim hæc ipsi intolerabilia viderentur, ingenti animi fiducia accessit ad Judicem. Cúmque verbis simul & factis illum pudore atque ignominia perfudisset, posthæc multiplices tormentorum cruciatus fortiter perpessus, tandem in mare præcipitatus, eodem quo frater genere mortis interiit. Et hæc quidem Ædesio tametsi aliquanto post tempore, ut jam dixi, ad hunc modum contigerunt.

A μαρτυρίοις εὐλόγως ἡμῖν μνημονευέσθω. καὶ τοῦ ἀδελφὰ δὲ τῷ Ἀπφιανῷ σμικρὸν τοῦ χρόνου ὕστερον ὑπομείνας, ὁ μὴ μόνον αὐτοῦ κατὰ θεὸν καὶ σώματι δὲ ὁμοπάτριος ἀδελφὸς Αἰδέσιος, μετὰ μυρίας ὅσας ὁμολογίας καὶ πολυχρονίους δεσμῶν κακώσεις. ἡγεμονικάς τε ἀποφάσεις ἐν αἷς τοῖς κατὰ Παλαιστίνην δέδοται μετάλλοις. καὶ μετὰ τὴν ἐν πᾶσι τούτοις φιλόσοφον ἐν τρίβωνος σχήματι ἀγωγήν. καὶ γὰρ οὖν αὐτὸς πλέον τοῦ ἀδελφοῦ παιδείας κεκτημένος καὶ B ἀπὸ μαθημάτων φιλοσόφων ὡρμᾶτο. τελευτῶν δῆτα ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως τὸν αὐτόθι συνιδὼν δικαστὴν χριστιανοῖς δικάζοντα, πέρα τε τῶν προσηκόντων ἐμπαροινοῦντα, τοτὲ μὲν σεμνοῖς ἀνδράσι ποικίλως ἐνυβρίζοντα. τοτὲ δὲ γυναῖκας σωφροσύνης τῆς ἄκρας καὶ αὐτοπαρθένους ἀσκητρίας εἰς αἰσχρὰς ὕβρεις πορνοτρόφοις παραδιδόντα. ταὐτὸν ἐγχειρήσας τῷ ἀδελφῷ, ὅτι δὴ ἀφόρητα αὐτῷ τὰ γινόμενα ἐδόκει, παραστήματι θαρσαλέῳ πρόσεισι. λόγοις τε καὶ ἔργοις τὸν δικαστὴν αἰσχύνῃ καὶ ἀτιμίᾳ περιβαλών, κἄπειτα καρτερῶς εὖ μάλα βασάνων πολυτρόπους ὑπομείνας αἰκίας, τὴν ἀδελφικὴν ἀπηνέγκατο C θαλάττῃ παραδοθείς, τελευτήν· ἀλλὰ τὰ μὲν κατὰ τοῦτον, ὡς δ' οὖν ἔφην μικρὸν τοῦ χρόνου ὕστερον, τοῦτον ἐγένηθη τὸν τρόπον.

---

## CAPUT VI.

*De Agapio martyre.*

ANno autem quarto persecutionis adversus nos concitatæ, die vicesimo mensis Dii, quod est ante diem duodecimum Calendas Decembres, feria sexta, apud eandem urbem Cæsaream martyrium prorsus memorabile perpetratum est, præsente tyranno ipso Maximino, & ob natalem suum spectacula populis exhibente. Cùm esset vetus consuetudo, ut præsentibus Imperatoribus magnifica, si unquam aliàs, spectacula majorem solito voluptatem spectantibus præberent; novis undique & insuslitatis conquisitis miraculis, partim ferarum quæ ex India aut Æthiopia aut aliunde advectæ in amphitheatrum introducebantur; partim hominum qui exercitatis ante corporibus stupenda exhibentes artis suæ specimina, spectatores mirabili volu-

ΤΕτάρτῳ γε μὴν τοῦ καθ' ἡμᾶς ἐπιδημοῦ διωγμοῦ, πρὸ δώδεκα Καλανδῶν Δεκεμβρίων, ἢ γένοιτ' ἂν μηνὸς Δίου εἰκάδι, προσαββάτου ἡμέρα, κατὰ τὴν αὐτὴν Καισάρειαν, γραφῆς ὡς ἀληθῶς ἄξιον, αὐτοῦ δὴ τοῦ τυράννου D Μαξιμίνου παρόντος καὶ θέας τοῖς πλήθεσι φιλοτιμουμένου κατὰ τὴν λεγομένην αὐτοῦ γενέθλιον ἡμέραν, ἀπετελέσθη τοιοῦτον. ἔθους τὸ πρόσθεν ὄντος ἐπὶ βασιλέων, εἰ καὶ ἄλλοτε τὰς φιλοτίμους θέας πλείους τοῖς θεαταῖς ἐμπαρέχειν θυμηδίας, καινῶν καὶ ξένων τάτε συνήθη παρηλλαγμένων τῶν θεαμάτων, ζώων ὁπη τῶν ἐξ Ἰνδίας ἢ Αἰθιοπίας, ἢ καὶ ἄλλοθεν εἰσκομιζομένων, ἢ καὶ ἀνδρῶν ἐντέχνοις τισὶ σωμασκίαις, παραδόξους ψυχαγωγίας τοῖς ὁρῶσιν ἐνδεικνυμένων, πάντως

πρὸς τῷ καὶ τότε οἷα βασιλέως τὰς θέας παρέχοντος, πλεῖόν τι καὶ παράδοξον χρῆν ὑπάρξαι ταῖς φιλοθεαμίαις. τί τοίνυν τοῦτο ἦν; μάρτυς τοῦ καθ' ἡμᾶς δόγματος παρήγετο εἰς μέσον, τῆς μόνης ἀληθοῦς εὐσεβείας ὑπεραγωνιζόμενος. Ἀγάπιος οὗτος ἦν, ὁ δεύτερος ἅμα τῇ Θέκλᾳ θηρσὶν ἐπὶ βορᾷ δεδόσθαι μικρῷ πρότερον δεδηλωμένος· ὃς δὴ καὶ ἄλλοτε δεσμωτηρίου τρίτον καὶ πολλάκις ἅμα κακούργοις ἐμπομπεύσας τῷ σταδίῳ, ἀεί γε μὴν κατὰ χρόνους τοῦ δικαστοῦ μετὰ τὰς ἀπειλὰς, ἤτοι κατ' οἶκτον, ἢ κατ' ἐλπίδα τοῦ μεταθήσεσθαι τῆς προθέσεως, εἰς ἑτέρους αὐτὸν ἀγῶνας ὑπερτιθεμένου, τότε δὴ βασιλέως ἐπιπαρόντος ἤγετο, ὥσπερ ἐπίτηδες εἰς ἐκεῖνον τοῦ καιροῦ πεφυλαγμένος, ὡς ἂν κἀκεῖνο τὸ σωτήριον ῥῆμα, ὃ τοῖς μαθηταῖς θείᾳ γνώσει προηγόρευεν, ὡς ἄρα καὶ ἐπὶ βασιλέων ἀχθήσονται ἕνεκεν τῆς εἰς αὐτὸν μαρτυρίας, καὶ ἐπ' αὐτοῦ πληρωθείη. φέρεται δὴ εἰς μέσον τὸ στάδιον σὺν καί τινι κακούργῳ. φόνῳ δὲ τοῦ δεσπότου τοῦτον ἐνέχεσθαι ἔλεγον. εἶθ' ὁ μὲν τοῦ δεσπότου φονεὺς τοῖς θηρσὶ παραβληθεὶς, ἐλέους καὶ φιλανθρωπίας ἠξίωτο, μονονουχὶ κατ' αὐτὸν ἐκεῖνον τὸν ἐπὶ τοῦ Σωτῆρος Βαραββᾶν. βοαῖς δ' ἐπὶ τούτῳ καὶ εὐφημίαις τὸ πᾶν ἐξηχεῖτο θέατρον, ὡς ἂν τοῦ μιαιφόνου φιλανθρώπως πρὸς τοῦ βασιλέως σεσωσμένου, τιμῆς τε καὶ ἐλευθερίας ἠξιωμένου· ὁ δὲ τῆς θεοσεβείας ἀθλητὴς, ἀνακαλεῖται μὲν πρότερον ὑπὸ τοῦ τυράννου. εἶτα ἄρνησιν τῆς προθέσεως αἰτηθεὶς ἐπ' ἐλευθερίας ἐπαγγελίᾳ, μεγάλῃ φωνῇ διαμαρτύρεται μὴ φαύλης μὲν ἕνεκεν αἰτίας, εὐσεβείας δὲ τῆς τοῦ τῶν ὅλων δημιουργοῦ, προθύμως καὶ μεθ' ἡδονῆς, ἴσα δ' ἂν ἐπάγοιτο ἀπαθῶς, γενναίως ὑποστήσεσθαι· καὶ τοῦτ' εἰπὼν, ἅμα λόγῳ τοὔργον ἐπάγει, δρομαῖος ἀντικρὺς ἀπολυθείσῃ κατ' αὐτοῦ ἄρκτῳ ὑπαντιάσας, ταύτῃ τε ἑαυτὸν ἀσμενέστατα ἐπιδεδωκὼς εἰς βορὰν· μεθ' ἣν ἔμπνους εἰς τὸ δεσμωτήριον αἴρεται. μίαν τε ἐνταῦθα ἐπιβιώσας ἡμέραν, τῇ ἑξῆς λίθων αὐτοῦ προσαρτηθέντων τοῖς ποσὶ, μέσῳ πελάγει καταποντοῦται. τοιοῦτο καὶ τὸ τοῦ Ἀγαπίου μαρτύριον.

A prate oblectabant: tunc quoque, utpote Imperatore ipso spectacula præbente, magnificentius aliquid & admirabilius solito, in apparatu ludorum inesse omnino oportebat. Quid verò illud fuit? Nostræ religionis martyr in medium adductus est, pro vera & sola pietate pugnaturus, nomine Agapius: quem unà cum Thecla ad bestias damnatum fuisse secundo persecutionis anno retulimus. Hic igitur cùm ter jam antea ex carcere eductus & sæpius cum maleficis solemni pompa traductus esset in stadio; Judice post varias comminationes ad alia subinde certamina ipsum differente, si-
B ve quòd miseratione ejus caperetur, sive quòd à proposito eum abduci posse sperabat, tunc tandem præsente Imperatore productus est: tanquam de industria ad id tempus reservatus, ut in ipso verbum illud compleretur quod Servator noster per divinam præscientiam discipulis suis prædixerat; fore ut coram Regibus adducerentur propter nominis ipsius confessionem. *Matth. 10.* Trahitur ergo in medium stadium unà cum noxio quodam, qui dominum peremisse ferebatur. Posthæc is quidem qui dominum suum interfecerat, bestiis objectus, veniam & clementiam Imperatoris pro-
C meruit, eodem pæne modo quo ille qui temporibus Servatoris nostri fuit Barabbas. Quam ob causam totum repentè amphitheatrum acclamationibus & laudibus personare cœpit, quia scilicet Imperator cruentum homicidam benignissimè servaverat, & honore ac libertate donaverat. Ille verò divinæ religionis athleta, primùm quidem ab Imperatore accitus est. Deinde cùm ab eo postularetur ut fidei suæ propositum abjuraret, promissa ipsi si id faceret, libertate; contenta voce professus est, se non ob ali-
D quod crimen, sed pro pietate in Deum omnium Conditorem, quæcunque sibi inferrentur supplicia non modo alacri ac forti animo, sed etiam cum voluptate esse subiturum. Hæc locutus, simul cum dictis facta conjungens, ursæ quæ adversus ipsum dimissa fuerat, concito cursu obviam occurrit, seq; ipsum bestiæ devorandum libentissimè obtulit. Post cujus laniatus, adhuc spirans in carcerem reportatur. Ubi cùm diei spatio supervixisset, sequenti die appensis ad pedes ejus lapidibus, medio mari submersus est. Hujusmodi fuit Agapii martyrium.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Caput VII.

*De Theodosia virgine, & de Domnino & Auxentio martyribus.*

A Cum verò quintus jam annus persecutionis volveretur, die secundo mensis Xanthici, quod est ante diem quartum nonas Apriles, ipso Dominicę Resurrectionis die, rursus apud Cæsaream Theodosia virgo ex urbe Tyro oriunda, fidelis gravisque inprimis puella, nondum octodecim annos nata, ad vinctos quosdam accessit, qui Regnum Dei liberè confitentes ante Prætorium sedebant; tum ut eos salutaret, tum ut, quod credibile est, eosdem rogaret, ut cùm ad Deum pervenissent, sui memores esse vellent. Quo facto, quasi impium quoddam ac nefarium facinus perpetrasset, correpta à militibus de- B ducitur ad Præsidem. Ille confestim ut erat insanus, & belluino quodam furoris impetu incitatus, cùm eam acerbis atque horrendis tormentis excruciasset, & latera ipsius ac papillas ad ipsa usque ossa ferreis ungulis exarasset; spirantem adhuc & læto atque hilari vultu cuncta tolerantem, marinis fluctibus mergi jubet. Inde ad reliquos Christi Confessores se transferens, omnes ad æris metalla quæ sunt apud Phœnum Palæstinæ damnavit. Posthæc die quinto mensis Dii, hoc est, ut Romani dicunt, nonis Novembris, in eadem ur- C be Cæsarea Silvanus qui etiamtum Presbyter & Confessor erat, sed paulò post ad Episcopatus honorem evectus martyrium consummavit, & alii quidam ejus comites; cùm pro vera pietate singularem constantiam ostendissent, ad opus in iisdem metallis faciendum ab eo quem dixi Præside condemnati sunt; decretumque ut pedum juncturæ candente ferro prius ipsis debilitarentur. Eodem temporis momento quo adversus istos sententiam tulerat, virum quendam innumeris aliis confessionibus nobilitatum Domninum nomine, qui ob singularem in dicendo liberta- D tem universis Palæstinis erat notissimus, vivum comburi præcepit. Post hæc idem Judex in excogitandis malis eximius artifex, & qui ad doctrinam Christi expugnandam nova quædam insidiarum ac fraudum genera commentus est, inaudita prius supplicia adversus Dei cultores excogitavit. Ac tres quidem pugilatu inter se dimicare, latâ sententiâ coëgit; quen-

A Ἤδη δὲ καὶ εἰς πέμπτον ἔτος τοῦ διωγ-
παρελαθέντος, μηνὸς δευτέρᾳ Ξανθι-
κοῦ, ἥτις ἐστὶ πρὸ τεσσάρων νωνῶν Ἀπριλλ-
ἐν αὐτῇ κυριακῇ ἡμέρᾳ τῆς τοῦ σωτῆρος ἡ-
ἀναστάσεως, αὖθις ἐπὶ τῆς Καισαρείας Θε-
δοσία τῶν ἀπὸ Τύρου παρθένος, πιστὴ καὶ σε-
νότατον κόριον, οὐδ' ὅλως ἐτῶν ὀκτωκαίδ-
δεσμίοις τισὶ καὶ αὐτοῖς τὴν Χριστοῦ βασι-
ὁμολογοῦσι, πρό τε τοῦ δικαστηρίου καθεζ-
νοις, πρόσεισιν ὁμοῦ φιλοφρονουμένη, κα-
εἰκὸς ὑπὲρ τοῦ μνημονεύειν αὐτῆς πρὸς τὸ-
ριον γενομένους, παρακαλοῦσα. τοῦτο δὲ πρα-
B σαν, ὥσπερ ἀνόσιόν τι καὶ ἀσεβὲς εἰργασμ-
ἀφαρπάσαντες στρατιῶται, ἄγουσιν ἐπ-
ἡγεμόνα. αὐτίκα δ' οὗτος ἅτε τις ἐμμαν-
τὸν θυμὸν θηριωδέστατος, δειναῖς καὶ φρ-
κωδεστάταις βασάνοις κατὰ πλευρῶν καὶ μαζ-
χρι καὶ αὐτῶν ὀστέων αἰκισάμενος, ἐμ-
ἔτ' αὐτὴν, ὅμως δ' οὖν πρὸς ἅπαντα γε-
τι καὶ φαιδρῷ ἱσταμένην προσώπῳ, τοῖς θ-
λαττίοις κύμασιν ἐμβληθῆναι προστάττ-
εἶτ' ἐξ αὐτῆς ἐπὶ τοὺς λοιποὺς μεταβὰς ὁμ-
τὰς, τοῖς κατὰ Φαινὼ τῆς Παλαιστίνης χαλκ-
ταλλοις τοὺς πάντας παραδίδωσιν. ἐπὶ τ-
C τοις, Δίου μηνὸς πέμπτῃ, κατὰ δὲ Ῥωμαίο-
ναις Νοεμβρίαις, ἐπὶ τῆς αὐτῆς πόλεως
ἀμφὶ Σιλβανὸν ἔτι δὴ τότε ὄντα πρεσβ-
ρον, ὁμολογήσαντα. ὃν οὐκ εἰς μακρὸν ὕστ-
ἐπισκοπῇ τιμηθῆναί τε καὶ μαρτυρίῳ συ-
τελειωθῆναι. γενναιοτάτην ἔνστασιν τὴν ὑ-
εὐσεβείας ἐπιδειξαμένους, τοῖς εἰς τὸ αὐτὸ χ-
κοῦ μέταλλον πόνοις ὁ αὐτὸς ἐγκρίνει. κα-
πρότερον τῶν ποδῶν τὰς ἀγκύλας αὐτο-
χρειωθῆναι προστάξας, ἐκδίδωσιν. ἅμα
κατὰ τούτων ἀποφάσει, ἄνδρα μυρίαις ἄλλ-
ὁμολογίαις διαπρέψαντα. Δομνῖνος τὸ ὄ-
D διὰ περιττὴν ἐλευθερίαν τοῖς κατὰ Παλα-
ἅπασι γνωριμώτατος, τῇ διὰ πυρὸς ἐκδίδ-
σι κολάσει· μεθ' ὃν ὁ αὐτὸς δικαστὴς δειν-
τεχνήτης τις ὢν κακίας, καὶ τῶν κατὰ τοῦ Χρ-
διδασκαλίας ἐπιχειρημάτων καινουργ-
μὴ δ' ἀκουσθείσας πώποτε κατὰ τῶν θεοσε-
ἐπενόει τιμωρίας· καὶ τρεῖς μὲν εἰς τὸ μονο-
μαχεῖν ἐπὶ πυγμῇ καταδικάζει. Αὐξέν-
τιον

πον δὲ σεμνὸν καὶ ἱερὸν πρεσβύτην, θηρίοις βορὰν παραδίδωσιν· ἄλλους δ' αὖ πάλιν τελείων ἀνδρῶν φέροντας ἡλικίαν εἰς εὐνούχους ἐκτεμὼν, τοῖς αὐτοῖς καταχρίνει μετάλλοις· ἑτέρους δ' αὖ πάλιν μετὰ χαλεπὰς βασάνους δεσμωτηρίῳ καθείργνυσιν. ἐν οἷς καὶ ὁ πάντων ἐμοὶ ποθεινότατος ἑταίρων Πάμφιλος ἦν, τῶν καθ' ἡμᾶς μαρτύρων ἀνὴρ πάσης ἕνεκεν ἀρετῆς ἐπιδοξότατος. τούτου τὴν ἐν ῥητορικοῖς λόγοις φιλοσόφοις τε μαθήμασιν ἀπόπειραν πρότερον ὁ Οὐρβανὸς λαβὼν, εἶθ' ὕστερον θύειν καταναγκάσας. ὡς ἀνανεύοντα καὶ μηδ' ὅλως ἐν λόγῳ τὰς ἀπειλὰς ἑώρα τιθέμενον, τὸ πανύστατον ἀγριάνας, σφοδροτέραις αὐτὸν αἰκίζεσθαι βασάνοις προστάττει. καὶ δὴ ταῖς κατὰ τῶν πλευρῶν, αὐτοῦ δι' ἐπιμόνων καὶ φιλονείκων ξυστήρων ὁ θηριωδέστατος μονονουχὶ ἐμφορηθεὶς, αἰσχύνην γε μὴν ἐπὶ πᾶσι καταχεάμενος, τοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ αὐτὸν ὁμολογηταῖς καταλέγει. ἐπὶ δὲ τῇ κατὰ τῶν ἁγίων ὠμότητι ὁποίας ἀμοιβῆς παρὰ τῇ θείᾳ δίκῃ τεύξεται, τοσαῦτα κατὰ τῶν Χριστοῦ μαρτύρων ἐμπαροινήσας, διαγνῶναι ῥᾴδιον ἐκ τῶν τῆδε προοιμίων. δι' ὧν εὐθὺς καὶ οὐκ εἰς μακρὸν τοῖς κατὰ τοῦ Παμφίλου τετολμημένοις, αὐτὸν ἔτι τῆς ἡγεμονίας ἐχόμενον, ἡ θεία μετῆλθεν δίκη ἀθρόως οὕτως. τὸν χθὲς ἄνω που ἐφ' ὑψηλοῦ βήματος δικάζοντα, καὶ πρὸς τοῦ στρατιωτικοῦ δορυφορούμενον στίφους, ὅλου τε τοῦ Παλαιστινῶν ἔθνους ἐπάρχοντα, ὁμοδίαιτόν τε οἷα φιλαίτατον καὶ ὁμοτράπεζον αὐτῷ τῷ τυράννῳ καθεστῶτα, διὰ μιᾶς γυμνώσασα νυκτὸς, καὶ τῶν τοσούτων ἀξιωμάτων ἔρημον καταστήσασα, ἀτιμίαν τε καὶ αἰσχύνην ἐπὶ τῶν πρότερον ὡς ἂν ἄρχοντα αὐτὸν τεθηπότων, καταχέασα. δειλόν τε καὶ ἄνανδρον, γυναικώδεις τε προϊέμενον φωνὰς καὶ ἱκεσίας ὅλῳ τῷ ἔθνει οὗ δὴ καὶ ἦρχεν, ἐπιδείξασα. αὐτόν τε τὸν Μαξιμῖνον ἐφ' ᾧ τὸ πρὶν γαυριῶν ἐφρυάττετο, ὡς ἂν διαφερόντως αὐτὸν τῶν δρωμένων αὐτῷ καθ' ἡμῶν ἕνεκα στέργοντι, δικαστὴν ἀπηνῆ καὶ ὠμότατον ἐπ' αὐτῆς τῆς Καισαρείας καταστήσασα. ὡς καὶ τὴν ἐπὶ θανάτῳ καθ' αὐτοῦ ψῆφον ἐξενεγκεῖν, μετὰ πολλὴν τὴν ἐφ' οἷς ἐξηλέγχετο ἀτοπήμασιν αἰσχύνην. ἀλλὰ τοῦτο μὲν ὁδοῦ πάρεργον ἡμῖν εἰρήσθω·

A dam verò sanctum ac venerabilem senem nomine Auxentium, bestiis objecit. Alios item jam adultos & virilem ætatem ingressos, exsectis prius testiculis ad eadem metalla damnavit. Alios rursus post acerbissima tormenta in carcerem conjecit. Inter quos erat & Pamphilus omnium sodalium mihi longè carissimus; qui præ cunctis nostræ ætatis martyribus, ob eximiam virtutem, præcipuam laudem & gloriam est consecutus. Ac primùm quidem Urbanus ejus tum in arte dicendi, tum in Philosophia peritiam experimento aliquo cognoscere voluit; deinde sacrificare illum jubens, B cùm renuentem minasque ipsius aspernantem videret; supra modum efferatus, gravioribus eum tormentis excruciari præcepit. Post hæc ungularum quibus latera ejus persulcaverat crebritate ac pertinacia tantum non carnibus illius pastus vir immanissimus, cùm ex his omnibus nihil preter dedecus atque ignominiam retulisset, tandem illum ceteris qui in carcere erant Confessoribus aggregavit. Hic porrò qui adversus martyres Christi tantopere debacchatus est, cujusmodi pœna apud justissimũ C Dei tribunal afficiendus sit, ob sævitiam qua in Sanctos est usus, ex ipsis quæ in hac vita expertus est quasi proludiis licet cognoscere. Etenim statim post illa quæ adversus Pamphilum nefariè admiserat, eum adhuc provinciam administrantem ultio divina corripuit. Quæ quidem hominem illum qui hesterno die in excelso tribunali residens jus dicebat, militum satellitio stipatus, totiusque provinciæ Palæstinæ Rector; qui contubernalis tyranni, utpote amicorũ præcipuus, & conviva ejusdem exstiterat: repentè unius noctis spatio spoliatum cunctis hisce dignitatibus nudavit; D & coram ipsis qui nuper illum utpote Præsidem coluerant, pudore atq; ignominia perfudit: & abjectum atque ignavum, vocesq; ac preces muliebri more fundentem, universæ quam rexerat gentis conspectui exhibuit: ipsum denique Maximinum, quo sese maximè ille efferebat, utpote ei carus inprimis & acceptus ob ea quæ adversus nostros crudeliter agebat, inexorabilem & crudelissimum ipsi Judicem in ipsa urbe Cæsarea constituit. Post plurima enim opprobria quibus ob illa quorum convictus fuerat crimina affectus est, tandem Imperator capitali eum sententia damnavit. Sed hoc à nobis obiter di-

ctum sit. Cùm verò opportunum tempus adfuerit; & impiorum qui præcipuè adversus nos insurrexerunt, & ipsius adeò Maximini eorumq; quos habuit consiliorum ministros, mortem ac funestos exitus commodiùs memorabimus.

γένοιτο δ' ἂν προσήκων καιρὸς, ἐν ᾧ τῶν δυσσεβῶν οἱ μάλιστα καθ' ἡμῶν ἐστρατευσ... αὐτοῦ τε τοῦ Μαξιμίνου καὶ τῶν ἀμφ' αὐτὸν, τὰ τέλη καὶ τῶν βίων τὰς καταστροφὰς ὁ λόγ... ἡμῖν ἐπὶ σχολῆς περιλήψεται.

## Caput VIII.

*De aliis Confessoribus deque Valentina ac Pauli martyrio.*

CUm in sextum usque annum persecutionis adversus nos procella continuò desæviret, ex Confessoribus divinæ Religionis quorum innumerabilis multitudo jampridem apud Thebaïdem versabatur in loco qui Porphyrites vocatur ex nomine marmoris quod ibidem effoditur, centum ferè viri tribus demptis, unà cum mulieribus & parvulis admodum liberis ad Præsidem Palæstinæ transmissi sunt. Quibus omnibus, cùm universorum Opificem Deum Christumque confessi essent, Firmilianus Præses qui Urbano successerat, sinistri pedis curvaturas simul cum ipsis nervis candente ferro exscindi: dextrosque oculos primùm quidem mucronibus confodi simul cum membranis & pupillis; deinde ad ipsas usque radices cauterio peruri, tanquam ex Imperatoris mandato præcepit. Posthæc ad metalla Provinciæ Palæstinæ, laboribus & ærumnis conficiendos transmittit. Nec verò hos solos hujusmodi supplicia perpessos vidimus; verum etiam ex Palæstinis illos quos ad pugilatus certamina condemnatos paulò ante retulimus; eò quod scilicet nec annonam ex Principis ærario accipere, nec consueto pugilibus more quotidianis proludiis exerceri sustinerent. Quam ob causam non solum Procuratoribus, sed ipsi etiam Maximino exhibiti; cùm invictam in Christi confessione constantiam famis & flagrorum tolerantiâ declarassent, eadem cum illis de quibus diximus pertulerunt; adjunctis quibusdam aliis Confessoribus in ipsa urbe Cæsarea. Post hos deinde quidam alii qui apud Gazam capti fuerant, dum ad audiendas sacræ Scripturæ lectiones convenirent; pars easdem quas superiores illi oculorum pedumque mutilationes sustinuerunt: pars sulcatis lateribus multò graviores cruciatus pertulerunt. Ex quibus

ΚΑὶ εἰς ἕκτον δὲ ἔτος πνεύσαντος ἐπιμ... τοῦ καθ' ἡμῶν χειμῶνος, εἶχε μὲν πρότε... τοῦ τὸ καλούμενον ἐν Θηβαΐδι φερωνύμ... γίνεται Πορφυρίτου λίθου μέταλλον, πλεῖ... ὅσην πληθὺν τῶν τῆς θεοσεβείας ὁμολογητῶν... ὧν τρισὶ δέουσι τὸν ἀριθμὸν, ἑκατὸν ἄνδρες ἅμα γυναιξὶ καὶ κομιδῇ νηπίοις πρὸς τὸν Παλαι... νης ἡγούμενον διαπέμπονται. οὓς τὸν τῶν ὅλ... Θεὸν καὶ τὸν Χριστὸν ὁμολογήσαντας, τῶν σκαι... ποδῶν τὰς ἀγκύλας αὐτοῖς νεύροις καυτῆ... ἀποτμηθῆναι. καὶ αὖ πάλιν τῶν ὀφθαλμῶν τ... δεξιοὺς πρῶτον μὲν ξίφεσιν αὐτοῖς ὑμέσι κ... ραις ἐκκοπῆναι. εἶτα δὲ πυρὶ διὰ καυτή... πάμπαν εἰς ῥίζας αὐτὰς ἀχρειωθῆναι, Φιρμι... λιανὸς ὁ τῇδε διάδοχος Οὐρβανῷ πεμφθ... ἡγούμενος, ὡς ἂν ἐκ βασιλικοῦ νεύματος δια... τάττει. κἄπειτα αὐτοὺς τοῖς κατὰ τὴν ἐπαρχ... μετάλλοις μόχθου καὶ κακοπαθείας ἕνεκα τα... λαιπωρεῖσθαι παραδίδωσιν. οὐ τούτους δ' ἄρα μό... νον τὰ τηλικαῦτα παθόντας, ἤρκει παραλαβεῖ... ὀφθαλμοῖς. ἀλλὰ καὶ Παλαιστινῶν τοὺς ἐ... πυγμῇ εἰς μονομαχίας καταχεκρίσθαι, μι... πρόσθεν δεδηλωμένους. ἐπεὶ μήτε τὰς ἐκ τ... βασιλικοῦ ταμείου τροφὰς, μήτε μὴν τ... ἐπιτηδείους τῇ πυγμῇ μελέτας ὑπέμενον. ο... δ' οὐκ ἐπιτρόποις αὐτὸ μόνον οἱ δηλούμενοι, ἀλ... λὰ καὶ αὐτῷ Μαξιμίνῳ τούτου γε ἕνεκα παρα... στάντες. γενναιοτάτην ἔνστασιν ὁμολογίας δι... λιμοῦ καρτερίας καὶ μαστίγων ὑπομονῆς ἐνδει... ξάμενοι, τὰ ὅμοια τοῖς δηλωθεῖσι πεπόνθ... μεθ' ἑτέρων προστεθέντων αὐτοῖς ὁμολογ... ἐπ' αὐτῆς τῆς Καισαρείας· ὧν κατὰ πόδας ἐπ... τῇ τῶν θείων ἀναγνωσμάτων συγκρ... κατὰ τὴν Γαζαίων πόλιν ἁλόντες ἕτεροι, οἱ μὲ... τὰς αὐτὰς τούτοις ὑπέμειναν κατά τε τῶ... ὀφθαλμῶν καὶ τῶν ποδῶν πάθας. οἱ δὲ καὶ ἔτι μεί... ζους, φοβερωτάτων κατὰ τῶν πλευρῶν ἐπειρά... θησαν βασάνων. ἐξ ὧν μία τις, τὸ μὲν σῶμα

γυνή, τὸν δὲ λογισμὸν ἄρρην, πορνείας ἀπειλὴν μὴ ἐνεγκοῦσα. εἰποῦσά τι ῥῆμα κατὰ τοῦ τυράννου, ὡς ἂν οὕτως ὠμοῖς δικασταῖς τὴν ἀρχὴν ἐπιτετραφότος, πρῶτον μὲν μαστίζεται. εἶτα δὲ μετέωρος ἐπὶ τοῦ ξύλου γενομένη, τὰς πλευρὰς αἰκίζεται. ὡς δ' ἐπιμόνως καὶ σφοδρῶς ἐκ προστάξεως τοῦ δικαστοῦ τὰς βασάνους ἐπῆγον οἱ ταύτῃ τεταγμένοι, ὑπὲρ τοὺς παρ' Ἕλλησιν ἐκείνους μαχητὰς ἐπ' ἐλευθερίᾳ τεθρυλλημένους, μὴ βαστάσασα τὸ ἀνηλεὲς καὶ ὠμὸν καὶ ἀπάνθρωπον τῶν πραττομένων, ἄλλη τις ὁμοίως τῇ προτέρᾳ τὸν τῆς παρθενίας ἐπανῃρημένη σκοπόν, τὸ μὲν σῶμα πάνυ γε τὸ δοκεῖν εὐτελὴς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, ῥωμαλέα δ' ἄλλως τὴν ψυχήν, καὶ μείζονα τοῦ σώματος τὸν λογισμὸν ἐνεστερνισμένη· καὶ μέχρι τίνος ἐκ μέσου τοῦ ὄχλου, τὴν ἐμὴν ὠμῶς οὕτως βασανίζεις ἀδελφήν, ἀνέκραγε πρὸς τὸν δικαστήν· ὁ δὲ πικρότερον ὑποκινηθείς, αὐτίκα συλληφθῆναι κελεύει τὴν ἄνθρωπον· εἶτα σύρεται εἰς μέσον. καὶ τὸ σεβάσμιον τοῦ σωτῆρος ἐπιγραψαμένη ὄνομα, πρῶτον μὲν λόγοις θύειν ἀνεπείθετο. ὡς δ' ἠπείθει, βίᾳ πρὸς τὸν βωμὸν εἵλκετο. ἡ δ' ἀδελφὰ ἑαυτῇ πράττουσα καὶ τῆς προτέρας ἐχομένη προθυμίας, ἀδεεῖ καὶ θαρσαλέῳ ποδὶ λὰξ ἐντείνει τῷ βωμῷ, καὶ τὰ εἰς αὐτὸν ἅμα τῇ ἐπικειμένῃ ἀνατρέπει πυρᾷ. ἐφ' ᾧ θηρὸς ἀγρίου δίκην ὁ δικαστὴς ὀξυνθεὶς τὸν θυμόν, τοσαύτας μὲν αὐτῇ πρότερον αἰκίας κατὰ τῶν πλευρῶν ἐπιτίθησιν, ὅσας οὐδενὶ τῶν πώποτε. μονονουχὶ καὶ ὠμῶν τῶν σαρκῶν αὐτῆς ἐμφορηθῆναι γλιχόμενος· ὡς δὲ κόρον αὐτῷ ἤδη τὰ τῆς μανίας ἐλάμβανεν. ἄμφω ζεύξας αὐτήν τε ταύτην ἅμα τῇ πρὸς αὐτῆς ἀδελφῇ προσαγορευθείσῃ, τὸν διὰ πυρὸς αὐτῶν καταψηφίζεται θάνατον. τούτων ἡ μὲν προτέρα. τῆς Γαζαίων χώρας ἐλέγετο. τὴν δ' ἑτέραν ἰστέον ἀπὸ τῆς Καισαρέων ὡρμῆσθαι, τὴν πολλοῖς γνώριμον Οὐλεντίναν τοὔνομα. τὸ ἐπὶ τούτῳ μαρτύριον πῶς ἂν καταξίαν διέλθοιμι, οὗ κατηξίωται ὁ τρισμακάριος Παῦλος. κατὰ μὲν τὴν αὐτὴν ταύταις ὥραν ὑπὸ μίαν ἀπόφασιν τὴν ἐπὶ θανάτῳ κριθείς. πρὸς αὐτῇ δὲ τελειώσει τὸν ἀποτέμνειν αὐτὸν ὅσον οὔπω μέλλοντα, βραχύ τι ὥρας ἐνδοῦναι αὐτῷ ἀντιβολήσας· οὐ τυχών, λαμ-

A quædam in muliebri corpore virilem animum gerens; cùm stupri comminationem non sustineret: jacto adversus tyrannum convicio, quippe qui tam sævis Judicibus regendas provincias commisisset; primùm quidem flagris verberata est; dein sublimis in eculeo suspensa, admotas lateribus ungulas pertulit. Cùm verò ministri ad id constituti, omni pertinacia omniq; virium nisu instantes, jussu Judicis eam excruciarent, alia quædam mulier quæ virginitatis propositum perinde ac prior amplexa fuerat, ipso quidem aspectu vilis ac despicabilis, verùm forti & suprà quàm B sexus ferebat sublimi animo prædita, ac longè præstantior pugnatoribus illis qui apud Græcos ob libertatem in loquendo omnium ore celebrantur, cùm tantam atrocitatem atque immanitatem ferre non valeret, ex media turba inclamare adversus Judicem cœpit: Quousque tandem adeò crudeliter meam torquebis sororem. Quo dicto ille exacerbatus, corripi repentè mulierem jubet. Tracta igitur in medium, cùm augusto Servatoris nostri nomine sese indigitasset, primùm quidem blandioribus verbis sollicitata est ut sacrificare vellet. Sed cùm id abnueret, vi ad C aram pertracta est. Tum verò illa sui similis, nec de priore alacritate quidquam remittens, firmo ac fidenti pede aram calcibus incessit, eamque cum imposito ipsi rogo disturbat. Quam ob causam Judex instar truculentæ cujusdam bestiæ percitus, primùm quidem ejus latera tot tantisque ungularum ictibus laniari præcepit, quot nullius unquam antea; adeò ut crudis ejus carnibus saturari velle videretur. Postquam verò improbitatis ipsum satietas cœpit; ambas simul copulans, hanc ipsam scilicet cum illa quam sororem suam ap- D pellaverat; flammis jussit absumi. Harum prior ex regione Gazensium orta esse ferebatur: altera verò Valentina nomine, multis probè cognita patriam habuit Cæsaream. Illud autem martyrium proximè subsecutum, quo beatissimus Paulus exornatus est, quo tandem modo pro dignitate explicare possim? Qui cùm eodem temporis articulo eademque quâ virgines illæ sententiâ, capitali supplicio damnatus fuisset: imminente consummationis suæ tempore, à carnifice qui caput ipsi jamjam erat præcisurus, breve temporis spatium sibi concedi flagitavit. Eoque impetrato,

contenta voce primùm quidem pro universa Christianorum gente preces ad Deum fudit, orans ut iisdem reconciliari vellet, utque pax illis ac securitas quamprimùm restitueretur. Tum pro Judæis supplicavit, ut per Christi fidem ad Deum conversi accederent. Deinde ordine progressus, eadem pro Samaritis obsecravit. Posthæc pro Gentilib⁹ qui errore mentis impliciti & ignoratione obcæcati tenebantur, Deum precatus est, ut ad agnitionem ejus tandem pervenirent, veramque religionem susciperent. Sed nec promiscuæ circumstantium turbæ mentionem prætermisit. Post hos omnes (ô verè eximiam & inexplicabilem animi mansuetudinem) pro ipso Judice à quo capitis supplicio damnatus fuerat; pro Imperatoribus, ac pro ipso etiam carnifice qui cervicem ipsi jamjam erat præcisurus, illo ipso & cunctis qui aderant audientibus, supplex DEUM omnipotentem rogavit, ne quod in ipsum admittebant facinus, illis imputaretur. Hæc clara voce precatus, cùm universi miseratione ejus commoti, utpotè qui innocens occideretur, lacrymas funderent; nihilominus semet ipse composuit: nudamque cervicem gladio feriendam præbens, divino martyrio decoratus est die XXV. mensis Panemi, hoc est, ante diem octavum Calendas Augusti. Et hujusmodi quidem exitus fuit martyrum illorum. Non longo post tempore rursus ex Ægypto centum ac triginta athletæ, Christianæ fidei confessione nobiles, easdem quas superiores illi oculorum ac pedum mutilationes jam anteà in Ægypto perpessi, jussu Imperatoris Maximini, pars ad Palæstinæ, pars ad Ciliciæ provinciæ metalla damnati ac deducti sunt.

πρᾳ̃ καὶ γεγωνῷ φωνῇ. πρῶτον μὲν τὰς ὑπὲρ τῶν ὁμοεθνῶν ἐπρυτάνευε τῷ Θεῷ δι' εὐχῶν καταλλαγάς, ἢ τάχος ἐλευθερίαν αὐτοῖς ἀποδοθῆναι ποτνιώμενος. εἶθ' ὑπὲρ τῆς Ἰουδαίων πρὸς τὸν Θεὸν διὰ Χριστοῦ προσαγωγῆς ἐδεῖτο· εἶθ' ἑξῆς κατέβαινε τῷ λόγῳ, τὰ αὐτὰ τοῖς Σαμαρείταις ἐπευχόμενος. καὶ τοὺς ἐν πλάνῃ δὲ καὶ ἀγνωσίᾳ Θεοῦ τῶν ἐθνῶν ὄντας, εἰς ἐπίγνωσιν ἐλθεῖν αὐτοὺς, καὶ τὴν ἀληθῶς εὐσέβειαν ἀναλαβεῖν παρεκάλει, μὴ δὲ τοὺς τότε παμμιγῆ περιεστῶτας, ἀτημελήτους καταλιπών· μεθ' οὓς πάντας ὢ τῆς πολλῆς καὶ ἀφάτου ἀνεξικακίας, καὶ ὑπὲρ τὸν θάνατον αὐτῷ προστιμήσαντος δικαστοῦ, τῶν τε ἐπὶ πᾶσιν ἀρχόντων, ἔτι τε καὶ τοῦ ὅσον οὔπω τῆς κεφαλῆς αὐτὸν ἀποτεμοῦντος, εἰς ἐπήκοον αὐτοῦ τ' ἐκείνου καὶ τῶν παρόντων ἁπάντων, τὸν τῶν ὅλων ἐδεῖτο Θεοῦ, μηδαμῶς αὐτοῖς ἐναριθμῷ γενέσθαι τὴν εἰς αὐτὸν ἁμαρτάδα ἀντιβολῶν. ταῦτα καὶ τὰ τοιαῦτα μεγάλῃ τῇ φωνῇ κατευξάμενος, καὶ μονονουχὶ τοὺς πάντας ὡς ἂν ἀδίκως ἀναιρούμενος, εἰς οἶκτον ἐλκύσας καὶ δάκρυα. ὅμως αὐτὸς ἑαυτὸν σχηματίσας, καὶ τὸν αὐχένα γυμνὸν τῇ τοῦ ξίφους ἀποτομῇ παραδοὺς, θείῳ κατεκοσμήθη μαρτυρίῳ, μηνὸς Πανέμου πέμπτῃ καὶ εἰκάδι, ἢ λέγοιτ' ἂν πρὸ ὀκτὼ Καλανδῶν Αὐγούστων. καὶ τὰ μὲν κατὰ τούσδε τοιοῦτον τέλος εἶχεν. οὐ μακροῦ δὲ διαδραμόντος χρόνου, αὖθις ἐκ τῆς Αἰγυπτίων γῆς οἱ θαυμάσιοι εἰς Χριστὸν ὁμολογίας ἀθληταὶ τριάκοντα πρὸς ἑκατὸν, ἐκ προστάξεως Μαξιμίνου τὰς αὐτὰς τοῖς προτέροις ἐπ' αὐτῆς Αἰγύπτου εἴς τε τοὺς ὀφθαλμοὺς καὶ τοὺς πόδας συμφορὰς ὑποστάντες, τοῖς δεδηλωμένοις ἐν Παλαιστίνῃ μετάλλοις. οἱ δὲ τοῖς κατὰ Κιλικίαν, καταδίκοις παραπέμπονται.

---

## CAPUT IX.

*De renovata acriùs persecutione: & de Antonino, Zebina, Germano aliisque martyribus.*

CEterùm post tot egregia nobilium Christi martyrum facinora, cùm persecutionis incendium imminui & sacro ipsorũ cruore quasi restingui jam cœpisset; cùmque his qui per Thebaïdem ad metalla damnati graviter vexabantur, quies ac libertas esset indulta; cùmq; jam liberiorem spiritum ducturi, & puriore quod ajunt aura fruituri essemus; rursus ille qui persequendi po-

ΕΠειδὴ τοῖς τοσούτοις τῶν μεγαλοπρεπῶν Χριστοῦ μαρτύρων ἀνδραγαθήμασι λωφησάσης, καὶ ὡσανεὶ τοῖς ἱεροῖς αἵμασι τῆς διωγμοῦ πυρκαιᾶς ἀποσβεννυμένης, ἀνέσεώς τε ἤδη καὶ ἐλευθερίας τοῖς ἐπὶ Θηβαΐδος εἰς τὰ αὐτόθι μέταλλα διὰ Χριστὸν καταπονουμένοις συγκεχωρημένης, μικρόν τε ἐκ καθαροῦ μελλόντων ἡμῶν ὑπαναπνεῖν ἀέρος. οὐκ οἶδ' ὅπως ἐκ τινὸς

ἀνακινήσεως πάλιν ἐξ ὑπαρχῆς ὁ τοῦ διώκειν τὴν ἐξουσίαν εἰληχὼς, κατὰ χριστιανῶν ἀνεκαίετο. ἀθρόως δ᾽ οὖν αὖθις Μαξιμίνου διαφοιτᾷ καθ᾽ ἡμῶν πανταχοῦ γράμματα κατ᾽ ἐπαρχίαν· ἡγεμόνες τε καὶ προσέτι ὁ τῶν στρατοπέδων ἄρχειν ἐπιτεταγμένος, προγράμμασι καὶ ἐπιστολαῖς καὶ δημοσίοις διατάγμασι, τοὺς ἐν ἁπάσαις πόλεσι λογιστὰς ἅμα στρατηγοῖς καὶ ταβουλαρίοις ἐπέσπερχον, τὸ βασιλικὸν εἰς πέρας ἄγειν πρόσταγμα, κελεῦον ὡς ἂν μετὰ σπουδῆς πάσης, τῶν μὲν εἰδώλων ἀνοικοδομοῖεν τὰ πεπτωκότα, πανδημεὶ δὲ πάντας ἄνδρας ἅμα γυναιξὶ καὶ οἰκέταις καὶ αὐτοῖς ὑπομαζίοις παισὶ, θύειν καὶ σπένδειν, αὐτῶν τε ἀκριβῶς τῶν ἐναγῶν ἀπογεύεσθαι θυσιῶν ἐπιμελὲς ποιοῖντο. καὶ τὰ μὲν κατ᾽ ἀγορὰν ὤνια ταῖς ἀπὸ τῶν θυσιῶν σπονδαῖς καταμολύνοιντο. πρόσθεν δὲ τῶν λουτρῶν ἔφεδροι καθιστάοιντο, ὡς ἂν τοὺς ἐν τούτοις ἀποκαθαιρομένους, ταῖς παμμιάροις μολύνοιεν θυσίαις. τούτων δῆτα οὕτως ἐπιτελουμένων, ἐξ ὑπαρχῆς τε τῶν ἡμετέρων πλείστη, οἷα δὴ εἰκὸς ἦν, φροντίδι συνεχομένων. τῶν τε ἀπίστων ἐθνῶν βαρεῖαν τῶν γινομένων, καὶ ὡς ἂν περιττὴν ἤδη τὴν ἀτοπίαν καταμεμφομένων. προσκορῆ γὰρ καὶ φορτικὰ ταῦτα καὶ αὐτοῖς εἶναι κατεφαίνετο. μεγίστου τε χειμῶνος τοῖς πανταχῆ πᾶσιν ἐπηρτημένου, τοὔμπαλιν ἡ θεία τοῦ Σωτῆρος ἡμῶν δύναμις τοῖς αὐτῆς ἀθληταῖς θάρσος τοσοῦτον ἐνέπνει, ὡς μηδ᾽ ἐπισπωμένου τινὸς μηδ᾽ ἕλκοντος, τὴν τῶν τοσούτων καταπατεῖν ἀπειλήν. ὁμόσε δὴ οὖν τρεῖς συνταξάμενοι τῶν πιστῶν, ἐπιπηδῶσιν εἰδώλοις θύοντι τῷ ἄρχοντι, παύσασθαι τῆς πλάνης ἐμβοώμενοι. μὴ γὰρ δὴ ἄλλον ὑπάρχειν πλὴν τοῦ τῶν ὅλων ποιητοῦ τε καὶ δημιουργοῦ Θεόν. ἀνερωτώμενοι δῆτα τίνες εἶεν, χριστιανοὺς σφᾶς θαρσαλέως ὡμολόγουν. ἐφ᾽ οἷς ὀξύτερον προσκινηθεὶς ὁ Φιρμιλιανὸς, μηδὲ βασάνοις αὐτοὺς αἰκισάμενος, κεφαλικῇ παραδίδωσι κολάσει. τούτων ὁ μὲν πρεσβύτερος ἦν, Ἀντωνῖνος ὄνομα. ὁ δὲ Ζεβινᾶς ἐκαλεῖτο, τῆς Ἐλευθεροπολιτῶν ὁρμώμενος. Γερμανὸς δὲ καὶ τῷ τρίτῳ ἦν ἡ προσηγορία. Δίου μηνὸς τρισκαιδεκάτη, εἰδοῖς Νοεμβρίαις καὶ τὰ κατὰ τούτους ἐπράχθη. γίνεται δ᾽ οὖν αὐτοῖς συναπόδημος ἐπ᾽ αὐτῆς ἡμέρας Ἐνναθὰς τῶν ἀπὸ Σκυθοπόλεως τίς γυνὴ, παρθενίας στέμματι καὶ αὐτὴ κεκοσμημένη. οὐ

A testatem nactus fuerat, nescio quo modo quove impulsu adversus Christianos de integro inflammatus est. Repente siquidem edicta Maximini contra Christianos quoquoversus per singulas sunt missa provincias. Simul Præsides, ipseque Præfectus Prætorii propositis edictis & epistolis ac publicis jussionibus, instabant Curatoribus civitatum & Magistratibus ac Tabulariis, ut Imperatoris præceptum exsecutioni mandarent, quo jussum erat ut idolorum quidem delubra quæ vetustate collapsa erant, omni cura ac studio instaurarent; cun-
B ctos verò tam viros quam mulieres unà cum servulis & infantibus, sacrificare & libare Diis immortalibus cogerent, & immolatis hostiarum carnibus vesci; utque cuncta in foro venalia sacrificiorum libationibus inquinarentur; & ante publicas balneas quasi in insidiis collocarentur custodes, qui lavantes illic homines sordesque corporis expurgantes exsecrandis sacrificiis macularent. Quæ dum ita geruntur, nostris de integro ut credibile est ingenti angore oppressis; ipsis quoque Gentilibus
C qui à nostra fide alieni erant, gravem jamque nimiam hujusmodi rerum atrocitatem improbantibus (quippe hæc illis plena importunitatis ac fastidii videbantur) cùm gravissima tempestas omnibus ubicumque positis immineret, rursum divina vis ac potentia Servatoris nostri, athletis suis tantam animi fiduciam addidit, ut nemine eos urgente ac trahente, ipsi ultro tot adversariorum minas proculcarent. Tres igitur ex fidelium numero, quasi juncto agmine irruunt in Præsidem, qui tum idolis sacrificabat; clamantes ut ab errore desisteret: Neque enim alium Deum esse præter universi Opificem
D & Creatorem. Posthæc interrogati quinam essent, Christianos se esse audacter profitentur. Quamobrem acriùs commotus Firmilianus, nullis prius tormentis excruciatos capitali supplicio addixit. Horum primus quidem Presbyter fuit nomine Antoninus; alter Zebinas vocabatur patriâ Eleutheropolitanus; tertius dictus est Germanus. Hæc tertiodecimo mensis Dii, quod est Idibus Novembris, adversus eos gesta sunt. Eodem die comes illis adjuncta est mulier quędam Scythopolitana, Ennathas nomine, ipsa quoque virginitatis infulis decorata. Quæ quidem non idem præstiterat quod

priores illi; sed per vim tracta & ad judicem ducta est. Post flagra igitur gravesque contumelias, quas absque permissu majoris potestatis inferre ei ausus est quidam ex ipsius vicinia Tribunus, Maxys nomine; vir vocabulo suo deterior, fortis alioqui & robore coporis præstans; sed sceleratus & moribus atque ingenio violentus, & universis qui eum norant invisus. Hic siquidem beatissimam virginem omni veste nudatam, adeò ut à lumbis deorsum ad pedes ipsos operta, reliquo corpore intecta esset, per universam Cæsariensium civitatem circumducens; tractam per omnia urbis fora loris cædere pro magno habuit. Post tot, inquam, verbera, cùm apud ipsum etiam tribunal Pręsidis magnum constantis fiduciæ specimen edidisset, Judex eam vivam exuri præcepit. Qui quidem immanitatem & rabiem adversus Dei cultores intendens, ipsas communis naturæ leges prætergressus est; quippe qui sanctorum hominum cadaveribus sepulturam negare non sit veritus. Horum igitur corpora sub dio exposita ut à bestiis laniarentur, diu noctuque sollicitè jussit custodiri. Proinde non exiguam hominum multitudinem plurimis diebus cernere licebat, huic immani ac ferino consilio obsequentem. Et hi quidem velut è specula ne cadavera subriperentur observabant, quasi ea res magni momenti esset. Canes verò & feræ bestiæ, & carnivoræ alites humanos artus hac atque illac dispergebant. Totaque circumundique civitas visceribus & ossibus constrata erat. Adeò ut nihil unquam crudelius, nihil horribilius, vel iis ipsis qui antea nobis erant infesti, visum fuerit; cunctis non tam eorum adversus quos hæc gerebantur calamitatem, quàm suam ipsorum & communis omnium naturæ contumeliam deplorantibus. Nam pæne ad ipsas civitatis portas propositum erat spectaculum quod omnem dicendi copiam, omnemque tragœdiam longè superabat; carnes scilicet humanæ quæ non uno in loco devorabantur, sed passim disjectæ erant. Nonnulli etiam intra portas artus & carnium ac viscerum frusta ab se visa esse affirmarunt. Quæ cùm per plurimos dies continuè gererentur, hujusmodi miraculum accidit. Forte aër purus ac liquidus, & totius cæli mira quædam serenitas erat; cùm repentè maxima pars columnarum

A ταῦτον μὲν αὐτοῖς διαπραξαμένη, ἐλ[...] δὲ βίᾳ καὶ προσαχθεῖσα τῷ δικαστῇ. μετὰ μαστίγων καὶ δεινὰς ὕβρεις ἃς ἐπήγαγεν αὐτῇ, [...] γνώμης τῆς μείζονος ἐξουσίας, τῶν κατὰ γειτνίασιν [...] φερόντων τις χιλιάρχων ἐτόλμα Μάξυς ὄνομα χείρων τῆς προσηγορίας ἄνθρωπος, μα[...] μὲν τὰ ἄλλα. ἰσχυρὸς δ' ὑπερβαλλόντως τὸ [...]θος, καὶ τὸν πάντα τρόπον δεινός τις ὄντως, καὶ [...] πᾶσι τοῖς γνωρίμοις διαβεβλημένος. οὗτος [...]γε ἐσθῆτος ἁπάσης τὴν μακαρίαν ἀποδύσας, ὡς τὴν ἐξ ὀσφύος αὐτὸ μόνον καὶ ἐπὶ πόδας κα[...]
B λύπτεσθαι, τὸ δ' ἄλλο σῶμα γυμνὸν ἔχειν, τ[...]τε πᾶσαν Καισαρέων πόλιν κύκλῳ περι[...]γαγών, ἱμᾶσιν ἀνὰ πάσας ἑλκομένην τὰς ἀγορὰς τύπτεσθαι περὶ πολλοῦ ποιεῖται. καὶ ἡ [...] τοσαῦτα θαρσαλεωτάτην ἔνστασιν καὶ ἐπ' αὐτῶν τῶν ἡγεμονικῶν βημάτων ἐνδειξαμένη, ζῶσαν πυρὶ παραδίδωσιν ὁ δικαστής. ὃς καὶ [...] ἀπάνθρωπον ἐκτείνας, τὴν κατὰ τῶν θεοσεβῶν λύτταν, πέρα τῶν τῆς φύσεως προῄει θεσμῶν, οὐδὲ ταφῆς αἰδούμενος ἀψύχοις φθονῶν τοῖς τῶν ἱερῶν ἀνδρῶν σώμασι. νύκτωρ δ' [...]
C ἐπιμελῶς καὶ μεθ' ἡμέραν ὑπαίθρους θη[...] εἰς βορὰν τοὺς νεκροὺς φυλάττεσθαι προστάττει. παρῆν ὁρᾶν ἐπὶ πλείοσιν ἡμέραις οὐκ ὀλίγων ἀνδρῶν ἀριθμόν, τῇ θηριώδει ταύτῃ καὶ βαρβάρῳ βουλῇ διακονουμένων. ἀλλ' οἱ μὲν ἐκ [...] πόπτου οἷόν τι σπουδῆς ἄξιον, ὡς μὴ οἱ νεκροὶ κλαπεῖεν ἐπεσκόπουν· θῆρες δὲ ἄγριοι καὶ κύνες οἰωνῶν τε τὰ σαρκοβόρα, τὰ βρότεια μέλη ὧδε κἀκεῖσε ἐσπάραττον. καὶ ἡ πᾶσα γε ἐν κύκλῳ πόλις, σπλάγχνων καὶ ὀστέων ἀνθρωπείων διεστόρνυτο. ὡς μηδέ τι πώποτε δεινότερον μηδ' αὐτοῖς ὅσοι πρότερον ἀπεχθῶς πρὸς ἡμᾶς εἶχον, φανῆναι φρικωδέστερον. οὐχ [...] τὴν συμφορὰν εἰς οὓς ἐπράττετο ταῦτα,
D ἐπὶ τῇ σφῶν αὐτῶν καὶ τῆς κοινῆς ἁπάντων ὕβρει φύσεως ἀπολοφυρομένων. προὔκειτο [...] ἄγχιστα πυλῶν, θέαμα παντὸς λόγου [...] τραγικῆς ἀκοῆς μεῖζον. οὐκ ἐφ' ἑνὶ χώρῳ [...] κατεσθιομένων τῶν ἀνθρωπείων σαρκῶν, ἀλλὰ κατὰ πάντα τόπον διαρριπτουμένων. μέλη γὰρ καὶ σάρκας ὅλας, μέρη τέ τινα σπλάγχνων [...] πυλῶν εἴσω τινὲς κατιδεῖν εἰρήκασιν. ἐφ' οἷς πλείσταις ἡμέραις ἐπιτελουμένοις, τοιόνδε τι παράδοξον συμβαίνει. αἰθρία ἦν καὶ λαμπρὸς ὁ ἀήρ, καὶ τοῦ περιέχοντος καθαρωτάτη [...]

εὐδιεινοτάτη. εἶτα ἀθρόως τῶν ἀνὰ τὴν πόλιν κιόνων οἳ τὰς δημοσίας ὑπήρειδον στοάς, δακρύων τινὰ τρόπον οἱ πλείους σταλαγμοὺς ἀπέσταζον· ἀγοραί τε καὶ πλατεῖαι, μηδεμιᾶς ψεκάδος ἐξ ἀέρος γεγενημένης, οὐκ οἶδ' ὁπόθεν ὕδατι ῥανθεῖσαι καθυγραίνοντο. ὡς αὐτίκα διαθρυλληθῆναι εἰς πάντας, δακρῦσαι τὴν γῆν ἀρρήτῳ λόγῳ, τὴν τῶν τότε πραχθέντων ἀνοσιουργίαν μὴ φέρουσαν. εἰς ἔλεγχόν τε φύσεως ἀτέγκτου καὶ ἀσυμπαθοῦς ἀνθρώπων, λίθους καὶ τὴν ἄψυχον ὕλην ἐπικλαῦσαι τοῖς γεγενημένοις. λῆρος ἴσως καὶ μῦθος εὖ οἶδ' ὅτι δόξειεν εἶναι τὸ ῥῆμα τοῖς μεθ' ἡμᾶς. ἀλλ' οὐχ οἷσπερ ὁ καιρὸς τὴν ἀλήθειαν ἐπιστώσατο.

A quæ publicas urbis porticus sustentabant, quasdam velut lacrymarum guttas stillaverunt: fora quoque & plateæ, cùm nullus ex aëre delapsus ros esset, nescio unde aqua perfusæ maduerunt. Adeò ut communi omnium sermone vulgaretur, terram miro & inexplicabili modo lacrymas edidisse, cum eorum quæ patrabantur impietatem ferre non posset; & ad immites ac barbaras hominum mentes convincendas, lapides ipsos resque anima carentes his quę fierent ingemuisse. Nec dubito quin hæc quæ dixi, pro nugis quibusdam & fabulis habituri sint posteri. At non itiB dem illi, quibus præsentis temporis fides veritatem rei confirmavit.

## Caput X.

*De Petro Monacho, Asclepio Marcionita, aliisque martyribus.*

Τοῦ δ' ἐπιόντος μηνὸς Ἀπελλαίου τεσσαρεσκαιδεκάτη, πρὸ δεκαεννέα Καλανδῶν Ἰαννουαρίων λέγοιτ' ἄν, πάλιν αὖ τῶν ἀπ' Αἰγύπτου τινὲς πρὸς τῶν ἐπὶ ταῖς πύλαις τοὺς παριόντας διερευνωμένων συλληφθέντες. ἐτύγχανον δ' οὗτοι θεραπείας ἕνεκα τῶν κατὰ Κιλικίαν ὁμολογητῶν ἐσταλμένοι. οἱ μὲν τὴν αὐτὴν οἷς ἔτυχον ἐξυπηρετησόμενοι, καὶ ἐδέξαντο ψῆφον, ὀφθαλμοὺς καὶ πόδας ἀχρειωθέντες· τρεῖς δ' αὐτῶν ἐν Ἀσκάλωνι ἔνθα καὶ ἐνεχλείοντο, θαυμασίαν τε παράστασιν ἀνδρείας παρεσχημένοι, διάφορον ἀπηνέγκαντο μαρτυρίου τέλος. ὁ μὲν τις αὐτῶν πυρὶ παραδοθείς, Ἄρης ὄνομα. οἱ δὲ τὰς κεφαλὰς ἀποτμηθέντες, Πρόβος καὶ Ἠλίας τούτοις ἦν ἡ προσηγορία. Αὐδυναίου δὲ μηνὸς ἡμέρα μιᾷ καὶ δεκάτῃ. εἴη δ' ἂν ἡ πρὸ τριῶν Εἰδῶν Ἰαννουαρίων, ἐπὶ τῆς αὐτῆς Καισαρείας Πέτρος Ἀσκητὴς ὁ καὶ Ἀψέλαμος, ἀπὸ Ἀνέας κώμης τῶν ὅρων Ἐλευθεροπόλεως, διὰ πυρὸς οἷα χρυσὸς ἀκραιφνέστατος, τῆς εἰς τὸν Χριστὸν τοῦ Θεοῦ πίστεως εὐγενεῖ λογισμῷ τὴν δοκιμὴν ἀποδέδωκε. μυρία μὲν λιπαροῦντας τόν τε δικαστὴν καὶ τοὺς ἀμφ' αὐτόν, ὡς ἂν ἐλεήσειέ τε αὐτὸν καὶ τῆς ἰδίας φείσαιτο νεότητός τε καὶ ἀκμῆς, ὑπεριδών. προτιμήσας δ' ἁπάντων καὶ ζωῆς αὐτῆς, τὴν ἐπὶ τὸν τῶν ὅλων Θεὸν ἐλπίδα. τούτῳ δὲ τῆς κατὰ Μαρκίωνα πλάνης Ἐπίσκοπός τις εἶναι δοκῶν

Insequentis verò mensis quem Apellæum dicimus die quarto-decimo, quod est ante diem XIX. Calendas Januarias, rursus quidam Ægyptii qui ad ministeria Confessoribus in Cilicia constitutis exhibenda ex patria proC fecti erant, comprehensi ab iis qui ad portas urbis appositi cunctos transeuntes scrutabantur; pars eâdem pœnâ qua illi quibus ministraturi venerant, damnati sunt; oculorum juxta ac pedum usu eis adempto. Tres verò ex ipsis, in urbe Ascalone in qua vincti tenebantur, cùm admirabilem animi fortitudinem ostendissent, diverso martyrii exitu occubuere. Quippe unus illorum Ares nomine, flammis consumptus est: reliquis duobus quorum alter Probus, alter Elias vocabatur, caput gladio præcisum. UndeciD mo autem die mensis Audynæi, id est, ut Romani dicerent, ante diem tertium idus Januarias, Petrus Asceta qui & Apselamus vocabatur, ortus ex vico Anea in agro Eleutheropolitano; velut aurum purissimum per ignem probatus, suæ in Christum fidei in urbe Cæsarea illustre specimen edidit. Nam & Judicem ipsum & cunctos qui ei apparebant, identidem hortantes ut sui ipsius misereri vellet, suæque ætati & adolescentiæ consuleret, generoso animo despexit: & spem quam in Conditore omnium Deo collocaverat, omnibus rebus ipsique adeo vitæ suæ antepostuit. Cùm hoc Asclepius quidam, qui sectæ Marcionitarum Episcopus

eſſe ferebatur; zelo quidem, ut ipſe exiſtimabat, pietatis adductus, ſed non illius quæ eſt ſecundum ſcientiam; uno eodemque nihilominus rogo conſumptus ex hac luce migravit. Et hæc quidem geſta ſunt in hunc modum.

A Ἀσκληπιός. ζήλῳ μὲν ὡς ᾤετο εὐσεβείας, οὐκ ὅτι γε τῆς κατ' ἐπίγνωσιν. ὅμως δ' οὖν μιᾷ τῇ αὐτῇ πυρᾷ τὸν βίον συνεξελήλυθεν. ἀλλὰ ταῦτα μὲν ταύτῃ.

## Caput XI.

*De Pamphilo aliiſque duodecim martyribus.*

Tempus nunc eſt, ut magnum illud ac celebre ſpectaculum eorum qui cum Pamphilo, cujus nomen mihi quidem deſideratiſſimum eſt, martyrium conſummarunt, poſterorum memoriæ tradam. Erant omnes numero duodecim, Prophetica quadam, ſeu potius Apoſtolica gratia ſimul & numeri æqualitate donati. Quorum princeps eminebat Pamphilus, ſolus ex illorum numero Preſbyterii apud Cæſaream dignitate decoratus. Vir toto vitæ ſuæ tempore in omni virtutis genere ſpectatiſſimus, ſeu fugam & contemptum ſæculi conſideres, ſeu bonorum largam in pauperes erogationem, ſeu ſæcularium honorum ad quos adſpirare poterat deſpicientiam; ſeu denique arctioris & Philoſophicæ cujuſdam vitæ exercitationem. Sed præ cunctis noſtræ ætatis hominibus eminuit in eo viro ardentiſſimum ſtudium ſacrarum literarum, & in iis rebus quas ſibi perficiendas propoſuerat indefeſſa laboris aſſiduitas ac diligentia; adhæc ſingularis in proximos cunctoſque qui ad ipſum acceſſerant beneficentia. Hujus viri reliquas virtutes, rèſque præclarè geſtas quæ prolixiorem orationem deſiderant, jampridem nos in peculiari opere quod de ejus vita conſcripſimus, tribus libris complexi ſumus. Si qui igitur harum etiam rerum cognoſcendarum cupidine tenentur, eos illuc amandaſſe contenti, inpræſentiarum cœptam de martyribus noſtris narrationem proſequemur. Secundus poſt Pamphilum in certamen deſcendit Valens Æliæ urbis Diaconus auguſta canitie conſpicuus, ipſoque aſpectu venerabilis ſenex; qui divinas Scripturas præ cæteris egregiè callebat. Eas enim uſque adeo fideli memoria complectebatur, ut nihil omnino intereſſet an ex Codice ipſo legeret, an cujuſlibet Scripturæ integras paginas memoriter recitaret. Tertius inter eos claruit Paulus Jamnitarum oppido oriundus: vir in agendo fervidus & ardore ſpiritus plenus: qui ante martyrium candentis ferri exuſtiones perpeſſus, confeſſionis coronam retulerat. His biennii ſpatio in carcere

Καιρὸς δῆτα καλεῖ, τὸ μέγα καὶ περιβόητον ἀνιστορῆσαι θέατρον, τῶν ἀμφὶ τὸ περιπόθητον ἔμοιγε ὄνομα Παμφίλου τελειωθέντων· δώδεκα δ' ἦσαν οἱ πάντες, Προφη- B τικοῦ ἢ καὶ Ἀποστολικοῦ χαρίσματος καὶ ἀριθμοῦ κατηξιωμένοι. ὧν ὁ κορυφαῖος, καὶ μόνος τῷ κατὰ Καισάρειαν πρεσβείου τιμῇ κεκοσμημένος μόνος ἐτύγχανεν ὁ Πάμφιλος. ἀνὴρ καὶ παρ' ὅλον αὐτοῦ τὸν βίον πάσῃ διαπρέψας ἀρετῇ, ἀποτάξει καὶ καταφρονήσει βίου, τῇ τῆς οὐσίας εἰς ἐνδεεῖς κοινωνίᾳ. κοσμικῶν ἐλπίδων ὀλιγωρίᾳ. φιλοσόφῳ πολιτείᾳ καὶ ἀσκήσει· μάλιστα δὲ παρὰ τοὺς καθ' ἡμᾶς πάντας διαπρεπὴς τῇ περὶ τὰ θεῖα λόγια γνησιωτάτῃ σπουδῇ, ἀτρύτῳ τε περὶ ἃ προὔθετο φιλοπονίᾳ, καὶ τῇ C περὶ τοὺς προσήκοντας καὶ πάντας τοὺς αὐτῷ πλησιάζοντας ὠφελείᾳ· οὗ τὰ λοιπὰ τῆς ἀρετῆς κατορθώματα, μακροτέρας ὄντα διηγήσεως, ἐπ' ἰδίας τῆς τοῦ κατ' αὐτὸν ὑποθέσεως βίου γραφῆς, ἐν τρισὶν ἤδη πρότερον ὑπομνήμασι παραδεδώκαμεν. ἀλλὰ γὰρ ἐπ' ἐκείνην τοὺς φιλοτίμως καὶ ταῦτα εἰδέναι ἔχοντας ἀναπέμψαντες, τανῦν ἐχώμεθα τῆς κατὰ τοὺς μάρτυρας ἀκολουθίας. δεύτερος μετὰ Πάμφιλον ἐπὶ τὸν ἀγῶνα παρῄει ἱεροπρεπεῖ πολιᾷ τετιμημένος, Οὐάλης. τῶν ἀπὸ Αἰλίας διά- D κονος, αὐτῇ προσόψει σεμνότατος πρεσβύτης, τῶν θείων γραφῶν εἰ καί τις ἄλλος ἐπιστήμων· τοσαύτας γέ τοι μνήμας αὐτῶν ἐπ[illegible]νιστο, ὡς μὴ ἐνδεῖν τῆς ἀπὸ γραμμάτων ἀναγνώσεως, τὸ εἴποτε λάβοι γραφῆς οἱασδ' οὖν ἀπομνημονεῦσαι διεξόδους. τρίτος ὁ θερμότατος καὶ τῷ πνεύματι ζέων ἀπὸ τῆς Ἰαμνιτῶν πόλεως ἐν αὐτοῖς ἐγνωρίζετο Παῦλος. πρὸ τῆς μαρτυρίου διὰ καυτήρων ὑπομονῆς τὸν τῆς ὁμολογίας διαθλήσας ἀγῶνα. τούτοις ἐπὶ τῆς

ἐν ἀρχῇ τῆς ἐτῶν δυεῖν ὅλων χρόνον καταστρέψασιν, ὑπόθεσις τοῦ μαρτυρίου γίνεται Αἰγυπτίων αὐτοῖς ἀδελφῶν ἔφοδος, τῶν καὶ σὺν αὐτοῖς τελειωθέντων. τοὺς κατὰ Κιλικίαν οὗτοι μέχρι τῶν αὐτόθι μετάλλων ὁμολογητὰς προπέμψαντες, ἐπανιόντες οὖν ἐπὶ τὰ οἰκεῖα. ὁμοίως δῆτα καὶ αὐτοὶ πρὸς αὐταῖς εἰσόδοις τῶν κατὰ Καισάρειαν πυλῶν, τίνες τε εἶεν καὶ ὁπόθεν ἀφικνούμενοι, πρὸς τῶν φυλάκων (βάρβαροι δέ τινες ὑπῆρχον οὗτοι τὸν τρόπον) ἀνερωτηθέντες, καὶ μηδὲν τῆς ἀληθείας ἀποκρυψάμενοι. οἷα κακοῦργοι ἐπ᾽ αὐτοφώρῳ ληφθέντες, συνείχοντο. πέντε δ᾽ ἦσαν οὗτοι τὸν ἀριθμόν. οἳ καὶ προσαχθέντες τῷ τυράννῳ, κἀπὶ τούτου παρρησιασάμενοι, αὐτίκα μὲν καθείργνυνται δεσμωτηρίῳ· τῇ δ᾽ ἑξῆς Περιτίου μηνὸς ἡμέρᾳ ἑκκαιδεκάτῃ, Μαρτίου κατὰ Ῥωμαίους ἡ πρὸ δεκατεσσάρων Καλανδῶν, ἐκ προστάγματος τούτους δὴ αὐτοὺς ἅμα τοῖς ἀμφὶ τὸν Πάμφιλον δεδηλωμένοις, τῷ δικαστῇ προσάγουσιν. ὃς καὶ πρώτον τῶν Αἰγυπτίων ἀκαταμαχήτου ἐνστάσεως, παντοίοις βασάνων εἴδεσι, μηχανῶν τε ξένων καὶ ποικίλων ἐπινοίαις πεῖραν λαμβάνει. τὸν μὲν προήγορον ἁπάντων τούτοις ἐγγυμνάσας τοῖς ἄθλοις, τίς εἴη πρῶτον ἠρώτα. εἶτ᾽ ἀντὶ τοῦ κυρίου ὀνόματος προφητικόν τι ἐπακούσας. τοῦτο δὲ πρὸς αὐτῶν ἐγίγνετο, ἀντὶ τῶν πατρόθεν αὐτοῖς ἐπιπεφημισμένων εἰδωλικῶν ὄντων εἰ τύχοι, μετατεθεικότων ἑαυτοῖς τὰς προσηγορίας· Ἠλίαν γοῦν καὶ Ἱερεμίαν καὶ Ἡσαΐαν τε καὶ Σαμουὴλ καὶ Δανιὴλ, ἤκουες ἂν αὐτῶν ἐπιγραφομένων, καὶ τὸν ἐν κρυπτῷ Ἰουδαίων γνήσιόν τε καὶ εἰλικρινῶς Ἰσραὴλ τοῦ Θεοῦ οὐ μόνον ἔργοις, ἀλλὰ φωναῖς κυρίως ἐκφερομέναις ἐπιδεικνυμένων. τοιοῦτόν τι οὖν πρὸς τοῦ μάρτυρος ὄνομα ἐπακούσας ὁ Φιρμιλιανὸς, οὐ μὴν ἐπιστήσας τῇ τοῦ ῥήματος δυνάμει. δεύτερον ἥτις αὐτοῦ πατρὶς γένοιτο, ἠρώτα. ὁ δὲ συνῳδὸν τῇ προτέρᾳ δευτέραν ἀφίησι φωνὴν, Ἱερουσαλὴμ εἶναι λέγων τὴν ἑαυτοῦ πατρίδα. ἐκείνην δῆτα νοῶν περὶ ἧς εἴρηται τῷ Παύλῳ. ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶν μήτηρ ἡμῶν· καὶ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. καὶ ὁ μὲν ταύτην ἐνόει· ὁ δ᾽ ἐπὶ χθόνα καὶ χαμαὶ ῥίψας τὴν διάνοιαν, ἥτις αὕτη εἴη καὶ ποῖ γῆς κειμένη, ἀκριβῶς ἐπολυπραγ-

A cere detentis occasionem martyrii præbuit Ægyptiorum iterum fratrum adventus: qui etiam unà cum illis martyrio coronati sunt. Hi Ægyptii constitutos in Cilicia Confessores, ad usque metalla quæ illic sita sunt, honoris causâ erant prosecuti. Cúmque in patriam reverterentur, ad ipsas urbis Cæsareæ portas perinde ac priores illi quos supra commemoravi, interrogati à custodibus, viris suopte ingenio Barbaris, quinam & unde profecti essent: absque ullis
B ambagibus rem, ut erat, confessi: Protinus tanquam malefici in ipso facinore deprehensi vinciuntur. Erant hi numero quinque: qui cùm ad tyrannum perducti, coram ipso liberè locuti essent, continuò trusi sunt in carcerem. Postridie verò, qui dies erat XVI. mensis Peritii, hoc est juxta Romanos ante diem XIV. Calendas Martias, una cum Pamphilo & supradictis ejus sociis ex mandato Judici exhibentur. Hic primùm quidem Ægyptiorum inexpugnabilem constantiam, omni tormentorum genere, & variis novarum machinarum adinventionibus experiri
C aggreditur. Ac Principem quidem illorum cùm ejusmodi cruciatibus antea exercuisset, quisnam esset primùm interrogavit. Postquam verò pro nomine proprio Propheticum aliquod vocabulum ex eo audivisset: (quippe ipsi indita sibi à parentibus nomina, ideò fortasse quod essent idolorum vocabula, abjecerant.) Heliæ igitur, & Hieremiæ atque Esaiæ, & Samuelis ac Danielis nomina eos sibi adsciscentes audire erat, & genuinum ac germanum Israëlem, qui propriè est eorum qui in occulto sunt Judæi, non solùm operibus, sed propriis etiam nominibus ex-
D hibentes. Hujusmodi inquam nomen cùm ex martyre audiisset Firmilianus, nec tamen vim ac virtutem nominis intellexisset, posthæc quænam ei patria esset interrogavit. Ille à priori vocabulo nullatenus discrepantia loquens, Hierusalem sibi patriam esse respondet; illam scilicet Hierusalem intelligens de qua loquitur Paulus: Superna autem Hierusalem libera est & metropolis omnium nostrûm. Item alio loco: Accessistis ad montem Sion, & ad civitatem Dei viventis Hierusalem cælestem. Et hanc quidem martyr intelligebat. Judex verò sensu in terram abjecto ac depresso, quænam illa urbs & ubi gentium esset, sollicitè in-

Galat. 4.
Hebr. 12.

quirebat. Tormenta dehinc adhibuit, ut veritatem eliceret. Sed enim ille manus post tergum retortas pedésque novis quibusdam machinis luxatos habens, verum se dixisse affirmavit. Interrogatus iterum ac sæpiùs quænam esset illa quam dicebat civitas, & ubi terrarum sita; eorum duntaxat qui veri Dei cultores essent hanc esse patriam respondit. Neque enim aliis prætterquam istis hujus civitatis jus competere: ipsam porrò ad Orientem & juxta ipsum exsurgentis Solis cubile positam esse. Et martyr quidem rursus in hunc modum juxta sensum suum philosophabatur, nullatenus intentus iis qui tormentis ipsum undique excruciabant. Sed tanquam carnis expers & corporis, ne minimo quidem dolorum sensu affici videbatur. Judex verò dubius atque anceps animo æstuabat, ratus Christianos urbem aliquam æmulam atque infensam Romanis alicubi conditurос esse. Proinde multum laborabat ut eam pervestigaret, & Orientis regionem quam martyr dixerat indagaret. Verùm ubi fortissimum virum post flagrorum verbera quibus eum laniaverat, & post cujusquemodi tormentorum cruciatus, stabilem atque immotum in iisdem quæ prius dixerat perseverare intellexit, capitali eum sententia damnavit. Et res quidem hujusce martyris, hunc veluti cujusdam tragœdiæ actum atque exitum habuerunt. Reliquos deinde cùm haud dissimilibus prolusionibus exercuisset, pari quoque genere mortis exstinxit. Fessus deinde, frustráque eos homines excruciari ab se cernens; cùm cupiditatis suæ satietas ipsum cœpisset, ad Pamphilum ejusque socios transit. Et quoniam compertum habebat, eos pro fidei suæ defensione alacritatem nulla vi tormentorum expugnabilem jam antea ostendisse, interrogavit illos utrùm vel nunc tandem præceptis imperialibus parere vellent. Cúmque nihil aliud à singulis elicere potuisset præter ultimam illam quæ in martyrio fit confessionem, eodem cum superioribus supplicio eos affecit. His ita gestis, adolescens quidam ex familia Pamphili; utpote in convictu ac disciplina tanti viri liberaliter educatus, simulatque sententiam in Dominum suum latam esse cognovit, è medio turbæ exclamans, ut mortuorum cadavera sepulturæ saltem traderentur postulavit. At Judex, non hominis sed belluæ potius, aut si quid etiam bellua tetrius est, dignus nomine,

A μόνει· εἶτα καὶ βασάνους ἐπῆγεν, ὡς ἀ-
ληθὲς ὁμολογοίη· ὁ δὲ στρεβλούμενος κατὰ
τὼ χεῖρε, καὶ τοῖν ποδοῖν μαγγάνοις τισὶ ξ...
διακλώμενος, ἀληθὲς εἰπεῖν ἀπο...
εἶτα πάλιν πολλάκις ἐρωτώμενος τίς εἴη ...
κειμένη ἣν δὴ φράζει πόλιν, μόνων εἶναι τ...
θεοσεβῶν ταύτην ἔλεγε πατρίδα. μὴ γὰρ ...
ρ... ἢ τούτοις μόνοις, αὐτῆς μετεῖναι. ...
δὲ πρὸς αὐταῖς ἀνατολαῖς καὶ πρὸς ...
χοντι ἡλίῳ· ὁ μὲν πάλιν διὰ τούτων κατὰ τὸν ...
νοῦν ἐφιλοσόφει, μηδαμῶς τῶν ἐν ...
βασάνοις αὐτὸν αἰκιζομένων ἐπιστρε-
B ποιούμενος. ἄσαρκος δ᾽ ὥσπερ καὶ ἀσώμα...
οὐδ᾽ ἐπαΐειν δοκῶν τῶν ἀλγηδόνων· ὁ δ᾽ ...
ρούμενος ἐσφάδαζεν, ἐχθρὰν καὶ Ῥωμα...
πολεμίαν πάντως που συστήσεσθαι πόλιν χρι...
νοὺς οἰόμενος. πολύς τε ἦν ταύτην ἀνερευ...
καὶ τὴν δηλωθεῖσαν χώραν κατ᾽ ἀνατολὰς ...
τάζων· ὡς δ᾽ ἐπιπλεῖον μάστιξι τὸν νεαν...
καταξήνας παντοίαις τε τιμωρησάμενος βα-
σάνοις, ἀπαράλλακτον τὴν ἔνστασιν τῶν π...
τερον αὐτῷ ῥηθέντων ἐγίγνωσκε, τὴν ἐπὶ θα-
νάτῳ κατ᾽ αὐτοῦ κεφαλικὴν ἐκφέρει ψῆφ...
C τοσαύτην μὲν οὖν τὰ κατὰ τοῦτον δραμα-
τουργίαν εἰλήχει· καὶ τοὺς λοιποὺς δὲ τοῖς π...
πλησίοις ἄθλοις ἐγγυμνάσας, τὸν ὅμοιον ...
παμπλήθει τρόπον· εἶτ᾽ ἀποκαμὼν, διαγνοὺς ...
εἰς μάτην τιμωρεῖσθαι τοὺς ἄνδρας. ἐπειδὴ ...
κόρον λαβὼν, ἐπὶ τοὺς ἀμφὶ τὸν Πάμφιλον
μέτεισιν· ἀναδιδαχθείς τε ὡς ἤδη καὶ πρό-
τερον διὰ βασάνων ἀμετάθετον ἐνεδείξα...
τὴν ὑπὲρ τῆς πίστεως προθυμίαν. ἀνερωτήσας
εἰ ἄρα εἰσέτι κἂν νῦν πειθαρχοῖεν, δεξάμε...
τε αὐτὸ μόνον παρ᾽ ἑνὸς ἑκάστου τὴν τελευ...
D αὐτῶν τὴν κατὰ τὸ μαρτύριον ὁμολογίας φω...
τὴν αὐτὴν τοῖς προτέροις ἐπάγει τιμωρ...
τούτων ἐπὶ πέρας ἀχθέντων, μειράκιον τῆς ...
κετικῆς ὑπάρχον τοῦ Παμφίλου θεραπ...
οἷα γνησίᾳ ἀνατροφῇ καὶ παιδείᾳ τοῦ τηλι...
τοῦ συνησκημένον ἀνδρὸς, ὡς ἔγνω τὴν κα...
τοῦ δεσπότου ψῆφον, ἀπὸ μέσης τῆς πλη...
ἀναβοᾷ, γῇ τὰ σώματα παραδοθῆναι ἀξι...
ὁ δ᾽ οὐκ ἄνθρωπος. ἀλλὰ θὴρ καὶ εἰ τι θη-
ρὸς ἀγριώτερον, μήτε τῷ τῆς ἡλικίας ...
πονείμας νέῳ συγγνώμην, αὐτὸ μόνον ...

ἐρωτήσας ὁμολογοῦντα χριστιανὸν ἔμαθεν. ὥσπερ ὑπό τινος τρωθεὶς βέλους, οἰδήσας τὸν θυμὸν, ὅλῃ δυνάμει τοῖς βασανισταῖς χρῆσθαι κατ' αὐτοῦ προστάττει. ὡς δ' ἐπικελευομένου θύειν ἀνανεύοντα αὐτὸν ἑώρα, οὐκέθ' ὡς σάρκας ἀνθρώπου, ἀλλ' ἢ λίθους ἢ ξύλα, ἤ τι τῶν ἄλλων ἀψύχων, ἄχρις αὐτῶν ὀστέων καὶ τῶν ἐν βάθει καὶ ἐν μυχοῖς σπλάγχνων παραμόνως καταξαίνεσθαι κελεύει. εἰς μακρὸν δὲ τούτου γενομένου, μάτην ἐγχειρεῖν διέγνω. ἀφώνου καὶ ἀνεπαισθήτου, μικροῦ δὲ δεῖν καὶ πάντη ἀψύχου τοῦ σώματος αὐτοῦ ταῖς βασάνοις καταξαινομένου. παραμένον δὲ τὸ ἀνηλεὲς καὶ ἀπάνθρωπον κεκτημένος, εὐθὺς ὡς εἶχε, μακρῷ πυρὶ παραδοθῆναι αὐτὸν ἀποφαίνεται. καὶ [ἱερὸς] οὗτος μὲν πρὸ τῆς τοῦ κατὰ σάρκα δεσπότου τελειώσεως, ὕστατος ἐπὶ τὸν ἀγῶνα παρελθὼν, τὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγὴν προὔλαβεν. ἔτι διαμελλόντων τῶν περὶ τοὺς προτέρους ἐσπουδακότων. ἦν δὲ ἄρα τὸν Πορφύριον ἰδεῖν, ἱερονίκου διαθέσει πάμμαχον νενικηκότος. κεκονισμένον μὲν τὸ σῶμα, φαιδρὸν δὲ τὸ πρόσωπον, θαρσαλέῳ φρονήματι καὶ γαύρῳ μετὰ τοσαῦτα τὴν ἐπὶ θανάτῳ βαδίζοντα. καὶ θείου πνεύματος ὡς ἀληθῶς ἔμπλεων. αὐτῷ τε φιλοσόφῳ σχήματι μόνῳ τῷ περὶ αὐτὸν ἀναβολαίῳ ἐξωμίδος τρόπον ἠμφιεσμένον. νηφαλέῳ τε λογισμῷ περὶ ὧν ἐβούλετο τοῖς γνωρίμοις ἐντελλόμενον καὶ διανεύοντα. ἐπ' αὐτῷ τε ἰκρίῳ τὸ πρόσωπον ἔτι φαιδρὸν διατηροῦντα. ἀλλὰ καὶ ἀφθείσης ἔξω ἀπὸ μακροῦ ἀποστήματος κύκλῳ περὶ αὐτὸν τῆς πυρᾶς, ἔνθεν τε κἀκεῖθεν ἀφαρπάζοντα τῷ στόματι τὴν φλόγα. γενναιότατά τε εἰς ἐσχάτην ἀναπνοὴν ἐγκαρτεροῦντα τῇ σιωπῇ. μετὰ μίαν τε ἣν ἅμα καταψαμένης αὐτοῦ τῆς φλογὸς ἀπέρρηξε φωνὴν, τὸν υἱὸν τοῦ Θεοῦ Ἰησοῦν βοηθὸν ἐπιβοώμενος. τοιοῦτος καὶ ὁ Πορφυρίου ἆθλος. τῆς δὲ κατ' αὐτὸν τελειώσεως ἄγγελος τῷ Παμφίλῳ γενόμενος Σέλευκος, τῶν ἀπὸ στρατείας τις ὁμολογητής. οἷα τηλικαύτης ἀγγελίας διάκονος, τοῦ σὺν αὐτοῖς παραχρῆμα κλήρου καταξιοῦται. αὐτίκα γοῦν αὐτὸν διαγγείλαντα τὸ τοῦ Πορφυρίου τέλος, τῶν τε μαρτύρων ἕνα δήτινα φιλήματι προσειπόντα, ἐπιλαβόμενοι στρατιῶται τινὲς,

A nullam ætati veniam impertiens; postquam interrogatum juvenem Christianum esse ex ipsius confessione didicit, statim quasi telo aliquo sauciatus intumuit; mandavitque tortoribus, ut totis viribus in adolescentem sævirent. Post hæc sacrificare eum jubens; cùm renuentem videret, prorsus quasi saxum aliquod aut lignum aliudve quid sensu destitutum, non hominis corpus feriret, adolescentis latera ad ipsa usq; ossa & intimos viscerum recessus absq; ullis induciis sulcari præcepit. Quod cùm diutius fieret, judex adolescentem toto licet corpore tormentis conscisso, nec vocem edere, nec sensu ullo doloris
B tangi, & quasi inanimem perstare videns, frustra se laborare intellexit. Nihilominus in pristina semper sævitia & immanitate perseverans, statim illum eo quo erat habitu, ingenti rogo cremari præcepit. Et hic quidem licet postremus in stadium ingressus, tamen ante temporalem dominum suum ex hac vita digredi occupavit: cùm ii qui priores illos expugnare studebant, adhuc moram traherent. Itaq; Porphyrium (hoc enim ei nomen fuit) cernere licebat, instar nobilis athletæ qui in sacro certamine decertans pammachio victoriam
C reportavit; corpore quidem pulverulento ac sordido, vultu autem hilari & confidenti animo post tot cruciatus ad mortem incedentem; prorsus divino spiritu repletum, & habitu Philosophico; uno scilicet quod habebat pallio in modum exomidis contectum; & tranquillo ac sedato animo familiaribus suis quæcumque volebat mandantem atq; innuentem: in ipso denique palo adhuc serenitatem oris retinentem. Quin etiam cùm rogus satis longo ab ipso intervallo circumquaque accensus fuisset, ipse hinc inde flammam ore at-
D trahebat: nec post unicam illam vocem quam cùm flamma ipsum contingere cœpisset, protulit, Jesum scilicet Filium Dei adjutorem sibi invocans; quidquam locutus est: fortissimè ad extremum usq; spiritum in silentio perseverans. Hujusmodi certamen Porphyrii fuit. Cujus consummationem cùm Confessor quidam nomine Seleucus qui olim miles fuerat, Pamphilo renuntiasset, confestim utpote talis nuntii minister; eorum sorti meruit adjungi. Quippe vix mortem Porphyrii nuntiaverat, & unum ex martyribus osculo salutarat; cùm subitò milites correptum

eum deducunt ad Præsidem. Qui perinde ac si Seleucum urgere voluisset, ut Porphyrio ad cælum tendenti se itineris comitem adjungeret, statim illum capitali supplicio plecti jussit. Hic ex Cappadocia oriundus, inter lectos Romanæ militiæ juvenes non mediocrem honoris gradum erat adeptus. Nam cùm ætatis flore, tum proceritate corporis ac robore ceteros commilitones longè anteibat: adeo ut forma ipsius crebris hominum sermonibus celebraretur, & totius corporis species tum ob proceritatem, tum ob venustatem admirationi esset. Ac sub initia quidem persecutionis, flagrorum verbera perpessus in confessionis stadio inclaruerat. Post depositam verò militiam, æmulatus eos qui divinæ pietatis studiis atque exercitationibus se totos dediderunt, pupillis ac viduis omni ope ac patrocinio destitutis, egenis quoque & infirmis, instar patris cujusdam aut curatoris, inspectorem se atque adjutorem exhibuit. Unde ab eo qui hujusmodi operibus magis quàm victimarum nidore & sanguine delectatur, admirabilem martyrii vocationem promeruit. Porrò decimus hic athleta, post omnes suprà memoratos eo ipso interfectus est die, quo maximâ cæli portâ Pamphili martyrio, ut credi par est reseratâ, facilis tum ipsi Pamphilo, tum ejus sociis in Regnum cælorum aditus patere videbatur. Posthæc Theodulus quidam, gravis & religiosus senex, unus ex Præsidis familia, & ab ipso Firmiliano præ cunctis domesticis honoratus, partim ob senectutem, & quòd tertiæ jam stirpis nepotes haberet; partim ob sinceram fidem & benevolentiam quam ipsi perpetuò præstiterat, cùm iisdem vestigiis insistens idem ac Seleucus gessisset, deductus ad dominum, magis ipsum quàm cuncti superiores exacerbavit. Statimque in crucem actus, eodem quo Servator noster martyrio defunctus est. Cùm unus adhuc deesset qui in supradictis martyribus duodecimi numerum impleret, adfuit post omnes Julianus eum numerum expleturus. Qui cùm peregrè advenisset, necdum ad locum ipsum accessisset; simulatque de martyrum cæde audivit, statim ut erat, de via concito cursu ad id spectaculum contendit. Cùmque Sanctorum cadavera humi jacentia vidisset;

A ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα. ὁ δὲ ὥσπερ ἐπιτρέ-
χων αὐτὸν τῷ προτέρῳ συναπόδημον τῆς
οὐρανοὺς ἕνεκα πορείας, αὐτίκα κεφαλικῇ τι-
μωρίᾳ κολασθῆναι προστάττει. ἀπὸ τῆς μὲν
τῆς Καππαδοκῶν γῆς. τῆς δ' ἐν στρατείαις ἐπι-
τοῦ νεολαίας, καὶ τῆς ἐν Ῥωμαικοῖς ἀξιώμα-
οὐ μικρᾶς τιμῆς ἐπειλημμένος· ἡλικίᾳ τε
καὶ ῥώμῃ σώματος, μεγέθει τε καὶ ἰσχύϊ,
πλεῖστον ὅσον τοὺς συστρατιώτας ἐπλεονέκτει,
καὶ τὴν πρόσοψιν αὐτοῦ περιβόητον τοῖς πᾶσι
ναι, καὶ τὸ πᾶν εἶδος ἀξιάγαστον, μεγέθους
B καὶ εὐμορφίας. κατ' ἀρχὰς μὲν οὖν τοῦ διωγ-
διὰ μαστίγων ὑπομονῆς τοῖς κατὰ τὴν ὁμολογ-
διαπρέψας ἀγῶσι. μετὰ δὲ τὴν τῆς στρατείας
παλλαγήν, ζηλωτὴν ἑαυτὸν καταστήσας τῶν
θεοσεβείας ἀσκητῶν. ὀρφανῶν ἐρήμων καὶ χη-
ρῶν ἀπροστάτων, τῶν τε ἐν πενίαις καὶ ἀσθε-
ἀπερριμμένων, Ἐπίσκοπος ὥσπερ καὶ ἐπίκου-
ρος, πατρὸς καὶ κηδεμόνος δίκην ἀναπέφαν-
ται. ὅθεν δὴ εἰκότως πρὸς τοῦ τοῖς τοιοῖσδε μᾶλ-
λον τῶν διὰ καπνοῦ καὶ αἵματος θυσιῶν χαίρον-
τος Θεοῦ, τῆς κατὰ τὸ μαρτύριον παραδόξου κλή-
C σεως ἠξιώθη. δέκατος οὗτος ἀθλητὴς ἐπὶ τοῖς
δηλωμένοις, ἐν μιᾷ καὶ τῇ αὐτῇ τετελείωται ἡμέ-
ρᾳ· καθ' ἣν, ὡς ἔοικε, μεγίστης τῷ Παμφί-
μαρτυρίῳ ἐπαξίως τοῦ ἀνδρὸς διανοιχθεί-
πύλης, εὐμαρὴς ἅμ' αὐτῷ καὶ ἑτέροις ἡ πάρ-
τῆς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσόδου γε-
νηται. κατ' ἴχνη δῆτα τῷ Σελεύκῳ Θεόδου-
σεμνός τις καὶ θεοσεβὴς πρεσβύτης, τῆς ἡγεμ-
κῆς τυγχάνων οἰκετείας, τετιμημένος τε παρὰ
Φιρμιλιανῷ πλέον τῶν κατὰ τὸν οἶκον ἁπάν-
των. τοῦτο μὲν τῆς ἡλικίας ἕνεκεν, καὶ τῷ τριγον-
πατέρα καθεστάναι. τοῦτο δὲ, δι' ἣν ἐσώζε-
αὐτοὺς εὔνοιαν καὶ πιστοτάτην συνείδησιν.
D παραπλήσιον τῷ Σελεύκῳ διαπραξάμενος,
προσαχθεὶς τῷ δεσπότῃ καὶ μᾶλλον αὐ-
τῶν προτέρων ὀξύνας, ταὐτὸ τοῦ Σωτῆρος μαρ-
τύριον πάθους σταυρῷ παραδοθεὶς κατεδέξ-
ἐπὶ τούτοις ἑνὸς ἔτι λειπομένου, ὃς τὸν δωδέκα-
τον ἀποπληρώσει τοῖς δηλουμένοις μάρτυσιν ἀριθ-
μόν, Ἰουλιανὸς παρῆν τοῦτον ἀποπληρώσων.
ἐξ ἀποδημίας γέ τοι ἀφικόμενος αὐτίκα,
μὴ δ' εἰσβαλὼν πω τῇ πόλει, εὐθὺς ὡς εἶχεν ἀπὸ
τῆς ὁδοῦ μαθὼν καὶ ὁρμήσας ἐπὶ τὴν τῶν μαρ-
τύρων θέαν. ὡς ἐπὶ γῆς χαμαὶ τὰ τῶν ἁγί-
εἶδε σκηνώματα, χαρᾶς ἔμπλεως γεγον-

ἑκάστῳ περιπλακεὶς, τοὺς πάντας ἠσπάζετο. τοῦτο ποιοῦντα συλλαβόντες αὖθις οἱ τῶν φόνων διάκονοι, προσάγουσι τῷ Φιρμιλιανῷ. ἀκόλουθα δ' αὐτῷ ἐπιτελῶν, μακρῷ καὶ τοῦτον πυρὶ παραδίδωσιν. οὕτω δῆτα καὶ Ἰουλιανὸς σκιρτῶν καὶ ὑπερβαλλόμενος, μεγάλῃ τῇ φωνῇ τῷ τηλικούτων αὐτὸν ἀξιώσαντι κυρίῳ ὑπερευχαριστῶν, τοῦ τῶν μαρτύρων κατηξιώθη στεφάνου. ἦν δὲ καὶ οὗτος, τὸ μὲν κατὰ σάρκα γένος Καππαδοκῶν, τὸν δὲ τρόπον, εὐλαβέστατος καὶ πιστότατος καὶ γνησιώτατος. σπουδαῖός τε τὰ ἄλλα πάντα, καὶ πνέων ἀπὸ ἁγίου πνεύματος. τοιοῦτο τῆς συνοδίας τὸ στῖφος τῶν ἅμα Παμφίλῳ συνεισελθεῖν ἐπὶ τὸ μαρτύριον ἀξιωθέντων. τούτων ἐπὶ τέσσαρας ἡμέρας τοσαύτας τε νύκτας ἐκ προστάξεως τοῦ δυσσεβοῦς ἡγεμόνος, τὰ ἱερὰ καὶ ὄντως ἅγια σώματα, εἰς βορὰν τοῖς σαρκοβόροις ἐτηρεῖτο. ὡς δ' οὐδὲν αὐτοῖς παραδόξως, οὐ θηρίον. οὐ πτηνόν. οὐ κύων προσεπέλαζεν, αὖθις ἐξ οἰκονομίας τῆς τοῦ Θεοῦ προνοίας ἀβλαβῆ ληφθέντα, τῆς τε προσηκούσης κηδείας λαχόντα, τῇ συνήθει παρεδόθη ταφῇ. ἐπιδὲ τῆς κατὰ τούτους κινήσεως ἀνὰ στόμα τοῖς πᾶσι λαλουμένης, Ἀδριανὸς καὶ Εὔβουλος ἀπὸ Μαγγαναίας οὕτω καλουμένης χώρας, ὡς τοὺς λοιποὺς ὁμολογητὰς εἰς τὴν Καισάρειαν ἀφικόμενοι, πρὸς τῇ πύλῃ καὶ αὐτοὶ δι' ἣν ἐληλύθασιν ἀνεκρίνοντο αἰτίαν· εἶτα ὁμολογήσαντες τἀληθὲς, τῷ Φιρμιλιανῷ προσάγονται. ὁ δ' ὡς εἶχε, πάλιν μηδὲν ὑπερθέμενος. μετὰ πλείστας βασάνους ἃς κατὰ τῶν πλευρῶν αὐτοῖς ἐπιτέθεικε, θηρίων αὐτοὺς βορᾷ κατακρίνει. δυεῖν δὴ οὖν μεταξὺ διελθουσῶν ἡμερῶν, ὁ μὲν Ἀδριανὸς Δύστρου πέμπτῃ μηνὸς, πρὸ τριῶν νωνῶν Μαρτίων, γενεθλίων τῆς κατὰ Καισαρέων νομιζομένης τύχης ἡμέρᾳ, λέοντι παραβληθεὶς, καὶ μετὰ τοῦτον ξίφει κατασφαγεὶς ἐτελειώθη. ὁ δὲ Εὔβουλος μεθ' ἑτέραν μέσην, νώναις αὐταῖς Μαρτίαις, ἢ γένοιτ' ἂν ἑβδόμῃ Δύστρου, πολλὰ λιπαρήσαντος αὐτὸν τοῦ δικαστοῦ, ὡς ἂν θύσας τῆς νομιζομένης παρ' αὐτῶν ἐλευθερίας τύχοι, τῆς προσκαίρου ζωῆς τὸν ὑπὲρ εὐσεβείας εὐκλεῆ προτιμήσας θάνατον, μετὰ τοὺς θῆρας ὁμοίως τῷ προτέρῳ θῦμα γενόμενος, ὕστατος τῶν ἐπὶ τῆς Καισαρείας μαρτύρων τοὺς ἄθλους ἐπεσφραγίσατο. μνημονεῦσαι δ' ἔτι ἄξιον

A gaudio diffusus, singulos complexus honorificè salutavit. quo in facinore comprehensus à militibus qui cædium ministri erant, perducitur ad Firmilianum. Qui à solita crudelitate nequaquam desciscens, ingenti rogo eum comburi præcepit. In hunc modum Julianus, gestiens ac præ lætitia exsiliens, & clara voce Domino qui tanto honore ipsum affecisset gratias agens, martyrii coronam adeptus est. Erat hic Julianus patriâ quidem Cappadox, moribus verò religiosissimus, & fidei sinceritate atq; integritate conspicuus. Idem in omnibus rebus gnavus ac strenuus, ipsóque
B sancti Spiritus numine erat plenus. Hujusmodi fuit manipulus eorum qui in subeundo martyrio comites Pamphili esse meruerunt. Quorum sacrosancta cadavera, jussu quidem impii Præsidis per quatuor continuos dies totidemq; noctes additis militaribus excubiis exposita sunt, ut à carnivoris bestiis laniarentur. Sed cùm præter omnium exspectationem, nec fera, nec volucris ulla, nec canis ad ea accederet, tandem divinâ ordinante Providentiâ integra atque illæsa asportata sunt: omnique fu-
C nebri cultu, ut par erat, ornata & curata, consuetæ tradita sunt sepulturæ. Cùm autem motus ac furor Præsidis adversus supradictos martyres adhuc in ore omnium versaretur, Adrianus & Eubulus ex regione Manganæa Cæsaream ad reliquos Confessores profecti, in ipso civitatis introitu perinde ac ceteri interrogati sunt, cujus rei gratiâ advenissent. Confessiq; id quod res erat, Firmiliano exhibentur. Qui rursus ita ut erat, nulla dilatione usus; post crebra ungularum verbera quibus latera eorum sulcaverat, eos ad bestias damnavit. Biduo igitur interjecto, Adrianus quidem quinto die mensis Dystri, id est,
D ante diem tertium Nonas Martias, quo die Natalis Genii publici, ut Gentiles existimant, apud Cæsaream celebratur, leoni objectus: ac deinde gladio transfixus martyrium consummavit. Eubulus verò perendie, ipsis Nonis Martiis, quod est septimo die mensis Dystri, cùm Judex enixè ipsum rogasset, ut oblato Diis sacrificio libertatem, prout ipsi existimant, consequeretur; gloriosam mortem pro pietate toleratam huic caducæ vitæ anteponens, post bestias non secus ac prior jugulatus, Cæsariensium martyrum certamina ultimus obsignavit. Operæpretium quoq;



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

fuerit hoc loco commemorare, quemadmodum divini Numinis providentia impios illos Præsides simul cum ipsis tyrannis ulta est. Etenim Firmilianus qui martyribus Christi adeò contumeliosè insultaverat, cum aliis extremo supplicio addictus, capite truncatus est. Et hæc quidem sunt martyria, quæ in urbe Cæsareâ toto persecutionis tempore perpetrata sunt.

A ἐνταῦθα τοῦ λόγου, ὡς ἄρα οὐκ εἰς μακρὸν ἡ θεία ἐφάνη πρόνοια τοὺς δυσσεβεῖς ἄρχοντας αὐτοῖς τυράννοις μετελθοῦσα. ὁ γὰρ τὰ τοσαῦτα κατὰ τῶν τοῦ Χριστοῦ μαρτύρων παροινήσας, αὐτὸς δὴ Φιρμιλιανὸς, μετὰ τῶν ἄλλων ἐσχάτην ὑπομείνας τιμωρίαν, ξίφει τὴν ζωὴν καταστρέφει. ἀλλὰ μὲν κατὰ Καισάρειαν ἐφ' ὅλοις τοῖς τοῦ διωγμοῦ χρόνοις ἐπιτελεσθέντα μαρτύρια, τοιαῦτα.

## Caput XII.

*De Ecclesiarum Præsidibus.*

IAM verò quæ hoc temporis spatio & posthæc circa Ecclesiarum Præsides gesta sint; quemadmodum ex pastoribus rationalis Christi gregis quem non ritè ac legitimè gubernaverant, eos Curatores camelorum, animalis bruti & suâpte naturâ tortuosi, divina justitia, utpote tali officio dignos constitui permiserit; & ad alendos Imperatoris equos amandaverit: quas præterea injurias & contumelias, quantos denique cruciatus à Procuratoribus Principis, & provinciarum Rectoribus quotquot per illa fuerunt tempora pro sacris vasis & thesauris Ecclesiæ perpessi sint: adhæc ambitionem plurimorum, & temerarias atque illegitimas ordinationes; & inter ipsos Confessores discidia: & quæcunque juniores illi turbarum concitatores adversus Ecclesiæ reliquias pertinaciter moliti sunt, novas res subindè alias post alias excogitantes, & in mediis persecutionis calamitatibus inclementiùs insultantes, & mala malis cumulantes; hæc, inquam, omnia omittenda esse duco. Est enim meo quidem judicio aliena ab instituto nostro hujusmodi rerum commemoratio, à qua etiam abhorrere me in ipso hujus sermonis exordio sum professus. Cùm igitur proposito nostro maximè congruat, ea dicere ac scribere & fidelium auribus commendare quæ in religione nostra gravia atque honesta sunt, & quæcumque ad laudem & gloriam pertinent; rectiùs facturus esse mihi videor, si extremam partem hujus libri præclaris admirabilium martyrum facinoribus & pace quæ posthæc cælitùs nobis affulsit, exornem.

B ΟΣα δ' ἐπὶ τούτοις κατὰ τὸν ἐν μέσῳ χρόνον ἐπιτελεσθῆναι συμβέβηκε, κατὰ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ὡς ἀντὶ ποιμένων τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων οὐκ ἐνθέσμως προστήσαντας, καμήλων ἀλόγων καὶ τῇ τοῦ σώματος φύσει σκολιωτάτων φροντιστὰς αὐτοὺς, ὡσπερεὶ τούτων ἀξίους ἡ θεία κατακρίνασα δίκη προεστήσατο. ὅπως τε βασιλικῶν ἵππων ἐνόχους προστασίᾳ κατέκρινεν. ὅσα τε τῶν ἱερῶν σκευῶν τῶν ἐκκλησιαστικῶν ἕνεκα κειμηλίων οἱ αὐτοὶ πρὸς τοὺς C καιροὺς βασιλικῶν ἐπιτρόπων τε καὶ ἀρχόντων ἐν ὕβρεσι καὶ ἀτιμίαις καὶ βασάνοις ἀνατετλήκασι. τάς τε ἐπὶ τούτοις τῶν πολλῶν φιλαρχίας, ἀκρίτους τε καὶ ἐκθέσμους χειροτονίας, καὶ τὰ ἐν αὐτοῖς ὁμολογηταῖς σχίσματα. ὅσα τε νέοι στασιώδεις κατὰ τῶν τῆς ἐκκλησίας λειψάνων διὰ σπουδῆς ἐμηχανήσαντο, καινότερα καινοῖς ἐπινεωτερίζοντες, καὶ ἀφειδῶς ταῖς τοῦ διωγμοῦ συμφοραῖς ἐπεντρίβοντες, καὶ κακὰ κακοῖς ἐπιτειχίζοντες. ταῦτα πάντα παρήσειν μοι δοκῶ, ἀνοίκειον ἐμαυτῷ κρίνας, παραιτούμενός τε καὶ ἀποφεύγων, ὡς δὴ ἔτι καὶ ἀρχόμενος D εἴρηται, τὴν περὶ τούτων διήγησιν. ἀλλὰ γὰρ ὅσα σεμνὰ καὶ εὔφημα κατὰ τὸν ἱερὸν λόγον, εἴ τις ἀρετὴ καὶ ἔπαινος, ταῦτα λέγειν τε καὶ γράφειν καὶ πιστῶν ἀκοαῖς παρέχεσθαι οἰκειότατον ἡγούμενος τῇ τῶν θαυμαστῶν μαρτύρων ἱστορίᾳ. καὶ τῇ μετὰ ταύτην οὐρανόθεν ἡμῖν ἐπιλαμψάσῃ εἰρήνῃ, κοσμήσειν μοι δοκῶ τοῦ παντὸς λόγου τὴν περιγραφήν.

## Caput XIII.

*De Silvano & Ioanne aliisq́, unde quadraginta martyribus.*

A Ἕβδομον ἔτος τοῦ καθ' ἡμᾶς ἀγῶνος ἠνύετο. καί πως ἠρέμα τῶν καθ' ἡμᾶς ἡσυχῇ τὸ ἀπερίεργον εἰληφότων, εἰς ὄγδοόν τε διαγομένων ἔτος, ἀμφὶ τὰ ἐν Παλαιστίνῃ χαλκοῦ μέταλλα οὐκ ὀλίγης ὁμολογητῶν συγκεκροτημένης πληθύος, πολλῇ τε τῇ παῤῥησίᾳ χρωμένων, ὡς καὶ οἴκους εἰς ἐκκλησίας δείμασθαι. ὁ τῆς ἐπαρχίας ἄρχων δεινός τις ὢν καὶ πονηρός, καὶ οἷον αὐτὸν τὰ κατὰ τῶν μαρτύρων δρασθέντα συνέστησεν, ἐπιδημήσας αὐτόθι καὶ τὴν τῶν ἐκεῖσε διαγωγὴν πυθόμενος, βασιλεῖ κοινοῦται ὅσα δοκεῖν εἰς διαβολὴν καταγράφων· εἶτ' ἐπιστὰς ὁ τοῖς με- B ταλλοις ἐπιτεταγμένος. ὡς ἂν ἐκ βασιλικοῦ νεύματος διελὼν τὴν τῶν ὁμολογητῶν πληθὺν, τοῖς μὲν Κύπρον, τοῖς δὲ τὸν Λίβανον οἰκεῖν ἔνειμεν· ἄλλους τε ἄλλαις κατὰ Παλαιστίνην χώραις καταπείρας, τοὺς πάντας διαφόροις πονεῖσθαι τισὶν ἔργοις ἐπικελεύεται· εἶτα τέσσαρας τοὺς μάλιστα δοκοῦντας αὐτῶν κορυφαίους ἐπιλεξάμενος, ἐπὶ τὸν ἐφεστῶτα τοῖς αὐτόθι στρατεύμασι παραπέμπεται· Πηλεὺς ἦν καὶ Νεῖλος Ἐπίσκοποι Αἰγυπτίων, καὶ πρεσβύτερος ἄλλος. καὶ ἐπὶ τούτοις ὁ τοῖς πᾶσι διὰ τὴν περὶ πάντας σπουδὴν γνωριμώτατος Πατερμού- C θιος· οὓς ὁ στρατοπεδάρχης, ἄρνησιν τῆς θεοσεβείας αἰτήσας καὶ μὴ τυχὼν, τῇ διὰ πυρὸς τελειώσει παραδίδωσιν. ἄλλοι δ' αὖ πάλιν ἐτύγχανον ἐκεῖσε ἐφ' ἑαυτοῖς ἰδίαν χώραν οἰκεῖν λαχόντες, ὅσοι τῶν ὁμολογητῶν ἤτοι διὰ γῆρας, ἢ διὰ πηρώσεις, ἢ ἄλλας σωμάτων ἀσθενείας, τῆς ἐν τοῖς ἔργοις ἀπολέλυντο λειτουργίας. ὧν ἡγεῖτο ἐκ τῆς Γαζαίων Ἐπίσκοπος ὁρμώμενος Σιλβανὸς, εὐλαβές τι χρῆμα D καὶ γνήσιον ὑπόδειγμα χριστιανισμοῦ φέρων. οὗτος δὴ ὡς εἰπεῖν ἀπὸ τῆς πρώτης ἡμέρας τοῦ διωγμοῦ καὶ διὰ παντὸς τοῦ χρόνου παντοίοις ἀγῶσιν ὁμολογιῶν διαπρέψας, εἰς ἐκεῖνο τοῦ καιροῦ τετήρητο, ὡς ἂν ὕστατον γένοιτο παντὸς τοῦ κατὰ Παλαιστίνην ἀγῶνος ἐπισφράγισμα. τούτῳ δὲ καὶ τῶν ἀπ' Αἰγύπτου συνῆσαν πλείους. ἐν οἷς ἦν Ἰωάννης, ὃς τῇ περὶ μνήμας ἀρετῇ τοὺς καθ' ἡμᾶς ὑπερεβάλετο πάντας. τῶν μὲν οὖν ὄψεων καὶ πρότερον οὗτος ἐστέρητο. ὅμως

Septimus jam persecutionis annus ad exitum vergebat, & res nostræ sensim sine sensu calumniantium molestiâ liberatæ, ad octavum usq; annum processerant. Cúmque in metallis æris apud Palæstinam maxima Confessorum multitudo in unum congregata, incredibili libertate frueretur, adeo ut Ecclesias etiam exstruerent: Præses provinciæ, vir sævus atq; improbus ut ex iis quę adversus martyres gessit perspici facilè potest, illuc delatus; audita illorum vivendi ratione, rem statim ad Imperatorem retulit, quæcumq; ipsi visum fuerat calumniosè in eos scribens. Dehinc Præpositus metallorum eò adveniens, velut B ex Imperiali præcepto Confessores varias in turmas distribuit; & alios quidem apud Cyprum, alios in Libano jussit incolere. Reliquos per varia Palæstinæ loca dispersos, diversorum operum molestiis vexari omnes mandavit. Quatuor deinde ex illis seligens qui ceteris antecellere videbantur, ad Ducem qui militaribus copiis illic præerat, eos mittit. Horum duo erant Ægyptiorum Episcopi, Peleus ac Nilus: tertius Presbyter quidam: quartus fuit Patermuthius, vir ob prolixam erga omnes benevolentiam cunctis notissimus. A quibus cùm Dux ille postulavisset, ut reli- C gionem suam abnegarent; repulsam passus, flammis eos absumi præcepit. Alii rursus ibidem versabantur, sejunctam à ceteris regionem seorsum incolendam sortiti; quotquot scilicet ex Confessoribus ob senectutem aut membrorum debilitatem, aut propter varios corporis morbos ab opere faciundo immunes erant. Quorum princeps erat Silvanus, Gazâ oriundus Episcopus, vir qui religionis Christianæ absolutissi- D mum quoddam & venerabile exemplum exstitit. Hic cùm à primo, ut ita dicam, persecutionis die, & per totum deinceps illud tempus, variis confessionum certaminibus inclaruisset, ad id usq; temporis servatus fuerat, ut omne illud in Palæstina certamen postremus quasi signaculo clauderet. Erant unà cum illo Ægyptii complures: inter quos fuit Joannes quidam, qui præ cunctis nostræ ætatis hominibus memoriâ valuit. Et hic quidem jam antea luminibus erat orbatus. Nihilo-

minus tamen in confessionum certaminibus in quibus maximè enituit, cùm ipsi perinde ac ceteris alter pedum candente ferro debilitatus esset, oculi quoque licet lumine orbati, cauterio perusti sunt; crudelitate scilicet & inhumanitate carnificum ad id usque feritatis ac diritatis progressâ. Porrò hunc virum ob mores quidem & Philosophicam vivendi rationem nihil attinet prædicare, præsertim cùm hujus rei causâ non tantum admirationis sit consecutus, quantum ex memoriæ præstantia. Quippe qui totos divinæ Scripturæ libros non in tabulis lapideis, quemadmodum ait divinus Apostolus, nec in membranis animalium, aut chartis quæ vermibus & longinquitate temporis consumuntur, verùm in carneis cordis tabulis, in anima scilicet candida & in purissimo mentis lumine perscriptos habuerit. Adeò ut quoties vellet, interdum legis Mosaïcæ, interdum Prophetarum libros; nonnunquam sacræ Historiæ locos; aliàs Evangelica & Apostolorum Scripta memoriter velut ex literario quodam penu proferret. Fateor certè obstupuisse me, cùm illum in frequentissimo Ecclesiæ cœtu medium stantem, & quosdam divinæ Scripturæ locos recitantem primitùs vidi. Etenim quandiu quidem vocem duntaxat hominis audire mihi dabatur, quædam illum, ut in Ecclesiastico cœtu moris est, legere existimabam. Verùm ubi proximè accedens id quod res erat deprehendi, ceteros quidem qui in circuitu astabant integra oculorum acie pollere, illum verò solis intelligentiæ oculis præditum instar Prophetæ cujusdam oracula edere, & reliquis corpore valentioribus multò præstare; facere omninò non potui, quin Deum summis laudibus efferrem ac prædicarem. Et evidens ac certissimum argumentum reapse mihi cernere videbar, quo constaret hominem verè esse, non eum qui in externa corporis specie apparet, sed illum potius qui in animo & intelligentia residet. Quippe corpore licet mutilato, nihilominus majorem facultatis suæ vim ac virtutem exerebat. Porrò supradictos viros qui seorsum degentes orationibus & jejuniis & hujuscemodi exercitationibus more solito incumbebant, Deus quidem beato ac salutari exitu donare jam parabat, adjutricem illis porrigens manum. Verùm hostis ille & bonorum omnium inimicus, cùm eos semper armatos assiduis

ad Deum

A δὲ καὶ ἐφ' αἷς διέπρεψεν ὁμολογίαις ὁμοί-
τοῖς ἄλλοις καυτῆρσιν ἀφανισθεὶς τὸν πό-
κατὰ τὸ μὴ ἐνεργούσης ὁράσεως τὸν αὐτὸν τρό-
ἐς καυτῆρα εἰλήφει. τῶν δημίων ἐπὶ τοσ-
λὲς καὶ ἀσυμπαθὲς, τὸ τοῦ τρόπου ὠμὸν καὶ ἀπάν-
θρωπον ἐπιτεινόντων. τοιοῦτον δὴ ὄντα, τὰ
μὲν καὶ βίου φιλοσόφου τί ἄν τις ἀποθαυμά-
σειεν. οὐχ οὕτως ἀναφανέντος παραδόξου, ὡς
ἐν μνήμαις ἀρετῆς ὅλας βίβλους τῶν θεί-
γραφῶν οὐκ ἐν πλαξὶ λιθίναις ἥ φησιν ὁ θεῖ-
Ἀπόστολος. ἀλλ' οὐδὲ ἐν ζώων δοραῖς ἢ χάρ-
ταις, ὑπὸ σητῶν καὶ χρόνου διαφθειρομέν-
B ἀλλ' ἐν πλαξὶν ὡς ἀληθῶς καρδίας σαρκί-
ναις, ψυχῇ τε διαυγεῖ καὶ καθαρωτάτῳ δια-
νοίας ὄμματι καταγεγραμμένας. ὡς προφέ-
ρειν γε ὅτε καὶ βούλοιτο διὰ στόματος ὥσπερ ἔκ
τινος λόγων θησαυροῦ, τοτὲ μὲν νομικὴν ἢ προ-
φητικὴν γραφήν, τοτὲ δὲ ἱστορικήν, Εὐαγγελικήν
τε ἄλλοτε καὶ Ἀποστολικήν. καταπλαγῆναί
ποτε αὐτὸς ὁμολογῶ, πρῶτον τὸν ἄνδρα θε-
ασάμενος μέσον ἱκανοῦ πλήθους ἐκκλησίας ἑ-
στῶτα, καί τινα μέρη θείας γραφῆς διεξιόντα.
ἕως μὲν γὰρ φωνῆς αὐτὸ μόνον ἐπακροᾶσθαι
μοι παρῆν, ἀναγινώσκειν οἷα δὴ ἔθος ἐν ταῖς
C συνόδοις, τινὰ ἡγούμην. ὡς δὲ ἄγχιστα γενό-
μενος τὸ πραττόμενον συνεῖδον, τοὺς μὲν ἄλλους
ἅπαντας ὑγιέσιν ὀφθαλμοῖς ἐν κύκλῳ περιε-
στῶτας. τοῦτον δὲ μόνοις τοῖς τῆς διανοίας χρώ-
μενον, καὶ ἀτεχνῶς οἷά τινα Προφήτην ἀπο-
φθεγγόμενον, παρὰ πολύ τε πλεονεκτοῦντα τῶν
τὸ σῶμα ἐρρωμένους. οὐκ οἶδ' ὅπως οὐ δοξά-
ζειν τὸν Θεὸν καὶ ἀποθαυμάζειν οἷός τε ἦν. σα-
φές τε πεῖσμα καὶ βέβαιον αὐτοῖς ἔργοις ἐδό-
κουν μοι ὁρᾶν, ὅτι δὴ μόνος κατ' ἀλήθειαν οὐχ
ὁ ἐν τῷ προφανεῖ σώματι νενομισμένος πέ-
D φυκεν ἄνθρωπος, ἀλλ' ὁ κατὰ ψυχὴν καὶ διά-
νοιαν. ὃς καὶ τοῦ σώματος λελωβημένου, μεί-
ζονα τὴν ἀρετὴν τῆς καθ' αὐτὸν δυνάμεως
ἐπεδείκνυτο. ἀλλὰ γὰρ τοὺς δεδηλωμένους κατὰ
τὸν ἀποκριθέντα τόπον διατρίβοντας, τὰ
συνήθη προσευχαῖς καὶ ἀσιτίαις καὶ ταῖς
λοιπαῖς ἀποτελοῦντας ἀσκήσεσι, Θεὸς μὲν
αὐτὸς τῆς σωτηρίου τελειώσεως τυχεῖν ἠξίου,
δεξιὰν αὐτοῖς ἐπήκοον παρέχων· ὁ δὲ πολέ-
μιος ἐχθρὸς ἅτε σχολαίτατα κατ' αὐτὸν

τῶν πρὸς Θεὸν εὐχῶν ὁπλιζομένους μηκέθ' οἷός τε φέρειν, κλείνειν καὶ μεταίρειν ἀπὸ γῆς ὡς ἂν ἐνόμιζεν ἐνοχλοῦντας· Θεὸς δ' αὐτῷ καὶ τοῦτο πράττειν ἐγχειροῦντι συνεχώρει. ὡς ὁμοῦ γε αὐτὸς τῆς αὐτοῦ κατὰ προαίρεσιν μὴ εἴργοιτο πονηρίας· ἐκεῖνοί τε τῶν πολυτρόπων ἀγώνων ἤδη ποτὲ ἀπολάβοιεν τὰ βραβεῖα. ταύτῃ οὖν ἑνὸς δέοντος τὸν ἀριθμὸν τεσσαράκοντα, νεύματι τοῦ παναγεστάτου Μαξιμίνου ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς ἀποτέμνονται. ταῦτα μὲν οὖν τὰ κατὰ Παλαιστίνην ἐν ὅλοις ἔτεσιν ὀκτὼ συμπερανθέντα μαρτύρια, καὶ τοιοῦτος ὁ καθ' ἡμᾶς διωγμός. ἀρξάμενος μὲν ἀπὸ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως, εἰς μέγα δὲ προκόψας ἐν ταῖς κατὰ χρόνους τῶν ἀρχόντων ἐπαναστάσεσιν· ἐν αἷς πολυτρόποι καὶ πολυειδεῖς τῶν ὑπὲρ εὐσεβείας ἠθληκότων ἀγῶνες ἀνήριθμόν τι πλῆθος μαρτύρων κατὰ πᾶσαν ἐπαρχίαν συνεστήσαντο, ἐν τοῖς ἀπὸ Λιβύης καὶ δι' ὅλης Αἰγύπτου, Συρίας τε καὶ τῶν ἀπ' ἀνατολῆς καὶ κύκλῳ μέχρι τῶν κατὰ τὸ Ἰλλυρικὸν κλίμα παρατείνουσι. τὰ γάρ τοι ἐπέκεινα τῶν δεδηλωμένων, Ἰταλία πᾶσα καὶ Σικελία, Γαλλία τε καὶ ὅσα κατὰ δυόμενον ἥλιον ἐπὶ Σπανίαν Μαυριτανίαν τε καὶ Ἀφρικήν. οὐδ' ὅλοις ἔτεσι δυσὶ τοῖς πρώτοις τοῦ διωγμοῦ τὸν πόλεμον ὑπομείναντα, ταχίστης ἠξιώθησαν Ἐπισκοπῆς τε Θεοῦ καὶ εἰρήνης. τῆς οὐρανίου προνοίας, φειδὼ τῆς τῶν ἀνδρῶν ἁπλότητος καὶ πίστεως ποιουμένης. ὃ γοῦν μηδ' ἱστόρηται ἐν τοῖς ἀνέκαθεν τῆς Ῥωμαίων ἀρχῆς, τοῦτο νῦν πρῶτον καθ' ἡμᾶς παρὰ πᾶσαν γέγονεν ἐλπίδα. διαιρεῖται μὲν γὰρ ἐπὶ τοῦ καθ' ἡμᾶς διωγμοῦ διχῆ τὰ τῆς βασιλείας· εἰρήνης δ' ἀπολαύουσιν οἱ ἐν θατέρῳ μέρει τοῦ προδεδηλωμένου κατοικοῦντες ἀδελφοί. τῶν ἀνὰ τὴν ἄλλην οἰκουμένην μυρίους ἐπὶ μυρίοις ἀγῶνας ὑπομεινάντων. ἀλλὰ γὰρ ὅτε καὶ τὴν καθ' ἡμᾶς Ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεων ἡ θεία χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ οἱ καθ' ἡμᾶς ἄρχοντες αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ τῶν καθ' ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξοτάτῃ γνώμῃ μεταβαλλόμενοι παλινῳδίαν ἦδον. χρηστοῖς περὶ ἡμῶν προγράμμασι καὶ ἡμέροις διατάγμασι τὴν καθ' ἡμῶν πυρκαϊὰν ἀποσβεννύντες· ἀναγραπτέα δὴ καὶ ἡ παλινῳδία.

Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν ἐν Παλαιστίνῃ μαρτυρησάντων τέλος.

A ad Deum precibus & ad pugnam paratos ferre non posset, interficere utpote sibi molestos atq; è medio tollere satagebat. Quod quidem Deus efficere illi permisit: partim ne ille à spontanea sua improbitate absterreretur, partim ut isti tot ac tantorum certaminum præmia tandem referrent. Sic igitur undequadraginta homines, jussu sceleratissimi Maximini uno eodemque die capite truncati sunt. Atque hæc sunt martyria quæ octo annorum spatio in Palæstina perpetrata fuerunt. Hujusmodi nostri temporis persecutio fuit: quæ cùm ab Ecclesiarum eversione sumpsisset initium, postmodum subsecutis vario tempore
B Rectorum infestationibus, longè ulteriùs progressa est. In quibus varia omnis generis certamina eorum qui pro pietate fortiter pugnaverunt, innumerabiles in singulis provinciis martyres præstiterunt: in Libya scilicet & per universam Ægyptum ac Syriam omnesque provinciæ quæ ab Oriente usq; ad tractum Illyrici quaquaversum protenduntur. Nam quæ ulterius sitæ sunt regiones, Italia videlicet tota & Sicilia; Gallia quoq; & quæcunq; ad Occasum Solis porriguntur, Hispania, Mauritania & Africa; cùm vix duobus primis perse-
C cutionis annis integris furorem belli expertæ essent, divini Numinis præsentissimum auxilium & pacem brevi sunt consecutæ; Dei scilicet providentia simplicitati illorum hominum ac fidei prospiciente. Porrò quod nunquam antea Imperio Rom. accidisse memoratur, id tunc primùm præter omnium opinionem evenit. In hac enim persecutione, quæ nostris temporibus grassata est, Imperium orbis Rom. in duas divisum est partes. Harum alteram quam paulò ante
D designavimus, quicunq; incolebant fratres, pace fruebantur. Quotquot verò in altera orbis Rom. parte degebant, innumera subinde certamina subierunt. Verùm simulatq; divina clementia nos propitio ac benigno vultu aspicere dignata est, statim Principes illi ipsi qui jampridem bellum adversus nos excitaverant; præter omnium spem mutatâ sententiâ palinodiam, ut dicitur, cecinerunt: clementibus edictis & benignis erga nos constitutionibus persecutionis adversus nostros conflatæ restinguentes incendium. Ipsam verò palinodiam à nobis reticeri non convenit.

*Explicit liber Eusebii Pamphili de Martyribus Palæstinæ.*